2152

# ΔΙΔΑΣΚΑΛΙΑ

Εὐσύνοπτος τοῦ Μακαρίου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ

# ΣΧΟΛΑΡΙΟΥ

ἢ

## ΝΟΜΟΣ ΕΥΑΓΓΕΛΙΚΟΣ

Ἐν ἐπιτομῇ σαφῶς καὶ εὐλήπτως ἐκτεθείς.

Νῦν πρῶτον

Τύποις ἐκδοθεῖσα διὰ προτροπῆς καὶ φιλοτίμου δαπάνης τοῦ Πανιερωτάτου καὶ θεοπροβλήτου Μητροπολίτου ἁγίου Προύσης

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ ΑΝΘΙΜΟΥ.

Ἐπιμελείᾳ δὲ

Τοῦ σοφολογιωτάτου Διδασκάλου Κυρίου Σεργίου τοῦ Μακραίου.

Ἐν τῷ τοῦ Πατριαρχείου τῆς Κωνσταντινουπόλεως Τυπογραφείῳ. Ἔτει 1806.

5 = 111
θ
901

Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία αὐτῇ. Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ Προφῆται κρέμανται.

Ματθ. Κεφ. κβ΄. 37.

SISMANOGLIO MEGARO

## ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ

Τὸ παρὸν Σύγγραμμα εἰ καὶ σύντομον, ἐστὶν ὅμως χριστιανικὴ διδασκαλία πλήρης, καὶ σαφὴς ἔκθεσις τῆς εὐαγγελικῆς νομοθεσίας. Ἐν αὐτῷ γὰρ ἕκαστος χριστιανὸς συνορᾷ ὁμοῦ τοὺς χαρακτῆρας τῆς ἀληθοῦς εὐσεβείας, τὰ καθήκοντα τῆς πνευματικῆς λατρείας, τὰς θεολέκτους ἐντολὰς τοῦ σωτῆρος Χριστοῦ, περιστατικῶς συνηρμοσμένας εἰς ἕκαστον πρόσωπον, ἐν οἱαδήποτε καταστάσει βίου. Ὅθεν καὶ σύνοψις ἅμα ἐστὶ τῶν εὐαγγελικῶν ἐντολῶν, καὶ ἑρμηνεία τῶν θείων ῥημάτων, καὶ ὁδηγεῖ ἕκαστον ὅπως ὀφείλει πιστεύειν, καὶ ὅσα χρεωστεῖ τηρεῖν καὶ φυλάττειν, καὶ ἐνεργεῖν καὶ πράττειν εὐσεβῶς ἐν τῇ ἰδίᾳ ἑαυτοῦ καταστάσει, κἂν ἄρχων ᾖ, κἂν ἰδιώτης, κἂν πλούσιος, κἂν πένης, κἂν μικρὸς, κἂν μέγας. Ὁ γὰρ τοῦ Θεοῦ νόμος ἐπίσης πᾶσιν ἐδόθη, καὶ οὐδεμίαν διαφορὰν ποιεῖται ἐν ταῖς διαφόροις καταστάσεσι τῶν εὐσεβῶν πρὸς τελείαν ἐν ἀλλήλοις ἀγάπην. Οὐδὲ χρή τινι τῶν ἐφιεμένων ψυχικῆς σωτηρίας προφασίζεσθαι ἀδυναμίαν. Ἔχομεν γὰρ ἅπαντες βοηθοῦντα τὸν σωτῆρα, τὸν εἰπόντα „ Ὅτι ὁ ζυγός

μου

„ μου χρηστὸς ϗ τὸ Φορτίον μου ἐλαφρὸν ἐστί. Καὶ τούτου γε ἕνεκα μάλιστα ὁ ἁγιώτατος ϗ σοφώτατος πατὴρ ϗ Οἰκουμενικὸς Πατριάρχης Κύριος Γεννάδιος ὁ Σχολάριος τὴν τοιαύτην ἔκθεσιν, ϗ ἀνάπτυξιν τοῦ εὐαγγελικοῦ νόμου προεστήσατο, ἵνα διεγείρῃ ἐκ τῆς ῥαθυμίας τοὺς ἀδυναμίαν προφασιζομένους, ϗ ἐξωμαλίσῃ διὰ τῆς ἐλπίδος τὴν ὁδὸν πρὸς τὰ ἀΐδια ἐκεῖνα ἀγαθά, εἰς ἃ θεόθεν ἐκλήθημεν. Ἀλλὰ ϗ τοὺς εὐδρομοῦντας καθοδηγεῖ οὗτος ὁ ἀοίδιμος, ἐπαλείφων εἰς τὴν ἀκριβῆ διατήρησιν ϗ ἐκπλήρωσιν τῶν θείων ἐντολῶν, τὴν πρὸς τὸν Θεὸν ϗ τὸν πλησίον τελείαν ἀγάπην εὐαγγελικῶς διακηρύττων. Τοῦτο γοῦν τὸ οὕτω καλὸν ϗ ὠφέλιμον τοῖς εὐσεβέσι σύγγραμμα σπάνιον ὂν διὰ τὴν ἀντιγραφήν, μὴ ἀνεχόμενος ἀποστερεῖσθαι τοὺς πολλοὺς τῆς ἐξ αὐτοῦ ὠφελείας ὁ Πανιερώτατος ϗ θεοπρόβλητος μητροπολίτης Προύσης Κύριος Ἄνθιμος, ὁ ἐμὸς γέρων ϗ δεσπότης σεβασμιώτατος, τύποις ἐξέδοτο προθεὶς τοῖς βουλομένοις προχείρως κτήσασθαι εἰς ψυχικὴν σωτηρίαν. Φροντίζει γὰρ ὑπὲρ τῶν εὐσεβῶν προθυμούμενος ὅσον οἷόν τε, ἐπιβοηθεῖν αὐτοῖς ἐν ἀνάγκαις λόγῳ τε ϗ ἔργῳ. Δέξασθαι οὖν ϗ τοῦτο τὸ σωτήριον πόνημα τοῦ ἁγιωτάτου ϗ σοφωτάτου αὐτοῦ πατρὸς εὐσεβεῖς ϗ φιλόθεοι δι᾽ εὐχερείας τοῦ τύπου ἤδη δωρεὰν διδόμενον. ϗ συνεχῶς ἀναγινώσκετε, μεμνημένοι τῆς εὐαγγελικῆς νομοθεσίας, ϗ διὰ πράξεων ταύτην ἐκτελοῦντες, μὴ ἀρκούμενοι μόνῃ τῇ χριστιανικῇ

νικῇ

νικῇ ἐπωνυμίᾳ. ἄνευ γὰρ τῶν θεαρέστων ἔργων ἡ πίστις νεκρά ἐστιν ὡς ὁ Κύριος ἔφησεν „ Οὐ πᾶς ὁ λέγων μοι Κύριε Κύριε „ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν „ τὸ θέλημα τοῦ πατρός. Καὶ πάλιν. „ Γρηγορεῖτε διὰ παν„ τὸς ἵνα μήπως καταλάβῃ ὑμᾶς ἐν σαββάτῳ, ἤτοι ἐν ἀεργίᾳ θεαρέστων πράξεων, ἢ ἐν χειμῶνι, τουτέστιν ἐν βιωτικαῖς μερίμναις, ἡ ὥρα τῆς ἐντεῦθεν ἀποδημίας, πεπεισμένοι ὅτι „ Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. Τῆς γοῦν ἐκ τοῦ πονήματος τούτου ὠφελείας καρπούμενοι, ὑπὲρ τοῦ ἰδίοις ἀναλώμασιν ἐκδεδοκότος αὐτὸ εἰς τύπον Φιλαγάθου ἡμῶν κηδεμόνος, ἁγίου Προύσης, εὔχεσθε ἀδιαλείπτως πρὸς Κύριον.

**Ὁ Πρωτοσύγ. Δανιὴλ Πέτρας.**

SISMANOGLIO MEGARO

Ἡμεῖς οἱ κατὰ τὸν Ὑψηλὸν προσκυνητὸν Ὁρισμὸν καταςαθέντες συνοδικῶς προςάται τῆς ἐν τῷ Πατριαρχείῳ τῆς Κωνςαντινȣπόλεως τυπογραφίας δηλοποιȣ̃μεν ὅτι ἡ παρȣ̃σα εὐαγγελικὴ διδασκαλία τȣ̃ μακαρίȣ Γενναδίȣ τοῦ Σχολαρίȣ χειρόγραφος, ἐνεφανίσθη ἡμῖν παρὰ τȣ̃ Ἐξοχοτάτȣ Ἀρχ. Ἰατρȣ̃ Βασιλείȣ τȣ̃ κενσορικῶς ἐφορεύοντος ἐν ταύτῃ τῇ τυπογραφίᾳ. Καὶ ὡς μὴ περιέχȣσα τὶ ἐναντίον τῇ ἁγίᾳ ἡμῶν Ἐκκλησίᾳ, καὶ τῇ πολιτικῇ διοικήσει, ἐκρίθη ἀξία ἐκδόσεως, καὶ ἐλευθέρας πωλήσεως ἐν τοῖς ἐργαςηρίοις, ἅτε δὴ ἐσφραγισμένη πρὸς ἔνδειξιν καὶ ἀσφάλειαν.

αωϛʹ. Μαρτίȣ αʹ.

Καλλίνικος Ἐλέῳ Θεȣ̃ Ἀρχιεπίσκοπος Κωνςαντινȣπόλεως νέας Ῥώμης καὶ Οἰκȣμενικὸς Πατριάρχης.

Σκαρλάτος Καλλιμάχης μέγας Διερμηνεὺς τῆς ὑψηλῆς Πόρτας.

Ὁ Ἐφέσȣ Διονύσιος. Ὁ Δέρκων Γρηγόριος.

Ὁ Μέγας Λογοθέτης Ἀλέξανδρος Μάνος.

Ὁ Μέγας Σκευοφύλαξ Κωνςαντῖνος Νέγρης.



# ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΓΕΝΝΑΔΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

## Περὶ τῆς Πρώτης τȣ̃ Θεȣ̃ Λατρείας.

## ΠΡΟΟΙΜΙΟΝ.

Δυοῖν ȣ̓σῶν τοῖς εὐσεβȣ̃σι λατρειῶν καὶ θεραπειῶν τοῦ Θεȣ̃, μιᾶς μὲν καὶ πρώτης, τῆς ἐν τῷ τηρεῖν τὰς ἐντολὰς αὐτȣ̃ μετὰ φόβȣ, καὶ ἀγάπης· ὀφείλομεν γὰρ, ἀγαπᾷν μὲν αὐτὸν ὡς δημιȣργὸν, καὶ πατέρα, καὶ προμηθέα, καὶ εὐεργέτην τȣ̃ αἰῶνος τȣ́τȣ, καὶ τȣ̃ μέλλοντος. Φοβεῖσθαι δὲ, ὡς Δεσπότην, καὶ ἀΐδιον δικαςήν. Δευτέρας δὲ, καὶ ἐλάττονος τῆς ἐν προσκυνήσεσι, καὶ εὐχαῖς, καὶ ψαλμῳδίαις καὶ τοῖς τοιȣ́τοις. Περὶ δὲ τῆς πρώτης καὶ ἀναγκαιοτάτης λατρείας τȣ̃ Θεȣ̃ λέγομεν πρῶτον, ἐν ἐπιτομῇ, ἅμα καὶ σαφηνείᾳ, τοῖς ἐν τῷ ὄρει τȣ̃ Κυρίȣ λογίοις, ἀκολȣθȣ̃ντες, ἃ νόμος ἐςὶν ὁ Εὐαγγελικὸς, καὶ Πνευματικός. Πνευματικὸς δὲ λέγεται, διότι ὑπέρκειται πάσης νομίμȣ παρατηρήσεως, ἢ τῷ Φυσικῷ νόμῳ ἀκολȣθȣ́σης, ἢ τῷ γραπτῷ, τῷ διὰ Μωϋσέως. ἐκεῖναι μὲν γὰρ δι᾽ αἰσθητῶν τινῶν καὶ σωματικῶν προσῆγον τὸν ἄνθρωπον τῷ Θεῷ, οὗτος δὲ τὸν ἀνθρώπινον

πινον νοῦν, καὶ τὴν θέλησιν, ἀμέσως προσάγει καὶ ὑποτάττει αὐτῷ τῷ Θεῷ. „ Πνεῦμα γὰρ ὁ Θεὸς καὶ τοὺς προσκυνοῦν„ τας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· κἀκεῖναι μὲν αἱ παρατηρήσεις, οὐκ ἀφ' ἑαυτῶν, ἀλλ' ἐκ τῆς τῶν τηρούντων ὑποταγῆς μᾶλλον, τὸ δραστήριον εἶχον. Ὁ δὲ τοῦ Κυρίου Ἰησοῦ νόμος, ἔκτε τῆς ὑποταγῆς, καὶ ἐκ τῆς Φύσεως αὐτοῦ τοῦ νόμου, καὶ τῆς τοῦ δεδωκότος δυνάμεως, τοῦ Θεοῦ δι' ἑαυτοῦ τῇ ἀνθρωπίνῃ Φύσει νομοθετήσαντος, καὶ ἐν τῷ προσληφθέντι ὑπ' αὐτοῦ ἀνθρώπῳ, λαλήσαντος μὲν γλώττῃ, πληρώσαντος δὲ ἔργῳ καὶ ὑποδείγματι τὴν μόνην πρὸς τὴν μέλλουσαν εὐδαιμονίαν ὁδὸν, καὶ τελειώσαντος, οὕτω δι' ἑαυτοῦ ἐγκαίρως τὴν ἐπιμέλειαν περὶ τῆς τῶν ἀνθρώπων βελτιώσεως, καὶ σωτηρίας, ἣν ὡς ἔντισι προμαθήμασιν ἐπεδείκνυτο, πολλοῖς βοηθήμασιν, ἐν χρόνῳ πολλῷ διάτε τοῦ Φυσικοῦ νόμου καὶ τοῦ γραπτοῦ· αὐτῷ δόξα εἰς τοὺς αἰῶνας.

## ΚΕΦΑΛΑΙΟΝ Α΄.

ΠΡῶτον τοίνυν δεῖ σε πιστεύειν ἀναμφιβόλως τε, καὶ ὀρθῶς. διότι ἡ πίστις, θεμέλιόν ἐστι τῆς πνευματικῆς τοῦ ἀνθρώπου οἰκοδομῆς ἐν τῷδε τῷ βίῳ, ἐν ᾧ κατὰ πίστιν περιπατοῦμεν, καὶ οὐ κατὰ ἄμεσον θεωρίαν. Καὶ οὔτε ὁ νοῦς ἡμῶν ἐν τῇ ἀληθείᾳ, οὔτε ἡ θέλησις ἐν τῷ ἀγαθῷ οἰκοδομηθῆναι δύναται, εἰ μὴ ἐπὶ θεμελίου τῆς πίστεως. Τριπλῇ δὲ ἡ πί-

SISMANOGLIO



ἡ πίστις ἀπαρτίζεται, κατασκευῇ, καὶ συνθέσει. Πρῶτον γὰρ πιστεύειν εἶναι Θεὸν, ἔπειτα πιστεύειν εἰς αὐτὸν, ὡς αὐτὸς πιστεύεσθαι διετάξατο, τουτέστιν εἰς ἕνα Θεὸν, Πατέρα, Υἱὸν, καὶ Πνεῦμα Ἅγιον, οὐ πληθυνόμενον ὀνόμασι μόνον ἄνευ πραγματικῆς διακρίσεως. Οὐδὲ εἰς τρεῖς οὐσίας διῃρημένον, ἀλλ' ἑνότητι Φύσεως ἄκρᾳ χαρακτῆρσι, καὶ ἰδιώμασι προσωπικοῖς, ἢ ὑποστατικοῖς διακρινόμενον· „ Πιστεύετε γάρ Φησιν, εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. ὅτι ὡς μὲν Υἱὸς καὶ γέννημα τοῦ Θεοῦ, ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ διακέκριμαι, ὡς δὲ καὶ ἄνθρωπος γενόμενος δι' ὑμᾶς τοὺς ἀνθρώπους, καὶ ἥκω δὴ εἰς ὑμᾶς. Κατὰ δὲ τὸν τῆς θεότητος λόγον, „ Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν „ ἐμοὶ, μᾶλλον δὲ, „ Ἐγὼ, καὶ ὁ πατὴρ ἕν ἐσμεν. Καὶ „ τὸ Πνεῦμα δὲ τὸ Ἅγιον, ἐκπορεύεται μὲν ἐκ τοῦ Θεοῦ, „ Φησὶ, καὶ πατρὸς, ἐμοῦ δέ ἐστιν, ὅτι πνεῦμα ἀληθείας ἐστιν, ἐγὼ δὲ ἡ ἀλήθεια, καὶ διὰ τοῦτο ἐμπνεύσει ὑμῖν πᾶσαν τὴν ἀλήθειαν. Διὸ καὶ τὸ σύνθημα τῆς ἡμῶν Πίστεως δι' οὗ ἀναγεννώμεθα, τὸ βάπτισμα δηλονότι, καὶ δι' οὗ ὁδοιπόροι γενόμεθα, τῆς ἀποκλεισθείσης ἡμῖν διὰ τῆς προγονικῆς ἁμαρτίας αἰωνίου ζωῆς, ὑπὸ τὴν ὁμολογίαν τῆς ἐν τριάδι προσώπων μιᾶς θεότητος, ἀπαιτεῖταί τε καὶ λαμβάνεται. Καὶ γενικῶς μὲν, οὕτως εἰς τὸν Θεὸν δεῖ πιστεύειν. εἰδικῶς δὲ κατὰ τὴν τῆς Ἐκκλησίας ἀνάπτυξιν, τῆς ἐκ τῶν Ἀποστολικῶν χρόνων, ἄχρι καὶ νῦν, καὶ ἕως τῆς συντελείας, τῇ ἐκ Θεοῦ κυβερνήσει, περὶ τῶν τῆς Πί-



στεως

ςεως μυςηρίων, τὴν δίψαν τῶν Φιλομαθῶν ποτίζȣσης. Ταύτῃ γὰρ τῇ Ἐκκλησίᾳ, ὡς ἐκ Θεȣ̃ τὴν θείαν ἐχȣ́σῃ δύναμιν, ὁ τȣ̃ Κυρίȣ παραπέμπει θεσμὸς, ȣ̓ μόνον ἐν τοῖς ἀποῤῥητοτέροις τε ϗ ὑψηλοτέροις, ἀλλὰ δὴ ϗ ἐν τοῖς πρὸς τὰ ἤθη ἀνήκȣσι. Διὸ ϗ τὰς πρὸς τȣ̀ς ἀδελφȣ̀ς διαφορὰς, ἐκεῖ λύειν τελευταῖον ἐπιτρεπόμεθα, ϗ τȣ̀ς τῆς Ἐκκλησίας παρακȣ́σαντας, ὡς Ἐθνικȣ̀ς ἀποςρέφεσθαι, ϗ Τελώνας κελευόμεθα, ϗ ἐκ μέσȣ αὐτῶν ἐξιέναι ϗ ἀφορίζεσθαι. Ἐν μέσῳ γὰρ τῆς Ἐκκλησίας ἐςὶν ὁ Θεὸς κατὰ τὴν ἐπαγγελίαν αὐτȣ̃. Ἐπὶ τῷ ὀνόματι αὐτȣ̃ συναγομένης, ϗ σὺν ταπεινώσει: ϗ πάσῃ τῇ ἐν Θεῷ παρασκευῇ. Τὸν ἐκεῖθεν φωτισμὸν ἐκζητȣ́σης. Ὅθεν τῇ Ἐκκλησίᾳ περὶ τῶν τοιȣ́των ἑπόμενοι, ἀμέσως ἑπόμεθα τῷ Θεῷ. ϗ τοῖς ταύτῃ ἀνθιςαμένοις, ὡς Ἱεροσύλοις, ϗ μιαροῖς, ϗ θεοςυγέσιν ȣ̓δὲν κοινὸν ἔχομεν. Τρίτον δεῖ πιςεύειν τῷ Θεῷ, ὅσα τε περὶ τῆς μακαρίας ζωῆς ἐπαγγέλλεται, ϗ ὅσα περὶ τῶν τιμωριῶν ἀπειλεῖ· πιςὸς γάρ ἐςιν ὁ Θεὸς ϗ ἀψευδὴς, ϗ πολλὴν ἄλλως ἐκ τῶν ἔργων αὐτȣ̃ τὴν τῆς ἀληθείας ἐπαγόμενος μαρτυρίαν, ὡς ϗ αὐτὸς δεῖν ἀξιοῖ. Εἰ μὴ δι᾽ ἄλλο, διὰ γȣ̃ν τὰ ἔργα πιςεύειν ἡμᾶς αὐτῷ, ἅτε κατὰ τὸν δρόμον τῆς Φύσεως ȣ̓κ ἄνευ αὐτȣ̃ γίνεται, καὶ ἅπερ ὑπ᾽ αὐτȣ̃ κατὰ τὴν τάξιν τῆς Φύσεως παραδοξοποιεῖται, ὧν ἁπάντων τέλος ϗ καρπὸς, ἡ τῶν ἀνθρώπων τελείωσις πρὸς τὴν ἐλπιζομένην κοινωνίαν τȣ̃ ἀγαθȣ̃, διὰ τὴν ἐνταῦθα περὶ αὐτῶν παντοίας προνοίας οἰκονομȣμένην.

Ἀλλ᾽ οἱ



Ἀλλ᾽ οἱ πολλοὶ τῶν ἀνθρώπων, ἐθελοκακίᾳ ϗ ἀγνοίᾳ τῇ τε Φύσει ϗ τοῖς ἔργοις αὐτῆς, εἰς ψευδοδοξίαν τε ϗ πονηρίαν ἐχρήσαντο, ϗ ταῖς ὑπερφυέσι τȣ̃ Θεȣ̃ θαυματȣργίαις διαβολὴν ἀπέδωκαν ἀντ᾽ εὐχαριςίας. Ἐκ τῶν τριῶν τοίνυν τȣ́των τῆς πίςεως συγκροτȣμένης, πρῶτον δεῖ σε, ὡς εἴρηται, ὑποτιθέναι ἀντὶ θεμελίȣ τὴν πίςιν, ὅτι ἄνευ αὐτῆς, Θεῷ ἀρέσαι ἀδύνατον. Αὕτη γὰρ ȣ̓ μόνον πρὸς τὸν ὅλον βίον σοι λυσιτελέσει, λόγον ἀρχῆς ἔχȣσα, ἀλλὰ ϗ τῶν θείων θελημάτων διδάσκαλός σοι γενήσεται, τȣ̃ μὲν ἀναπτύσσȣσα τὰ τοῖς θείοις περιεχόμενα νόμοις, τȣ̃ δὲ ϗ προςιθεῖσα, διότι ὁ νȣ̃ς τȣ̃ πιςεύοντος εἰλικρινῶς ϗ βεβαίως, ὑπὸ τȣ̃ πιςευομένȣ Θεȣ̃ βοηθεῖται, ἀναπληρȣ̃ντος τῷ Φωτὶ τῆς χάριτος, τὸ ἔλλειμμα τῆς ἀσθενείας τȣ̃ ἀνθρωπίνȣ λόγȣ, ϗ νȣ̃. Ὅταν ταπεινωθεὶς μὲν πιςεύσῃ, πιςεύσας δὲ, ἐπεξεργάζηται τὴν πίςιν διὰ τῶν ἔργων. Διὸ ϗ ἡμεῖς νῦν, διὰ τῆς πίςεως ἐπὶ τὸν λοιπὸν τȣ̃ Θεȣ̃ νόμον, αὐτȣ̃ βοηθȣ̃ντος, ὁδοποιȣ̃μέν σοι. Τῷ μὲν ȣ̃ν δευτέρῳ μέρει τῆς πίςεως συναφθήσεταί σȣ ὁ νȣ̃ς τῇ πρώτῃ ἀληθείᾳ, ὡς δυνατὸν, ϗ ἐνταῦθα. Τῷ δὲ προτέρῳ ἡ θέλησίς σου πρὸς τὴν αἵρεσιν τῶν ἀγαθῶν ὁδηγηθήσεται. Τῷ δὲ τρίτῳ παρακληθήσεταί σȣ ὁ λογισμὸς ἐν τοῖς ὑπὲρ τῶν ἀρετῶν πόνοις, ϗ ταῖς τῶν πειρασμῶν ἐπαγωγαῖς τῶν ἐκ Θεȣ̃ ἐπαγομένων, ἢ διὰ δαιμόνων, ἢ ἀνθρώπων, ἢ τῆς Φύσεως συγχωρȣ̃ντος αὐτȣ̃ τȣ̃ Θεȣ̃, ἢ μὴ κωλύοντος, καὶ δοκιμῆς χάριν, ἢ καθάρσεως. ϗ ἢ δι᾽ ὑπομονῆς κερδανεῖς ἄχρι τέλȣς,

SISMANOGLIO

λους, ἢ ϗ ἐπὶ τὸν Θεὸν καταφυγὼν ἀπαλλαγήσῃ, τοῦ Θεοῦ σοὶ τὴν πίστιν ἀμοιβομένου. ὃς τῇ μὲν Χαναναίᾳ εἴρηκε, „ μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις. Τοῖς δὲ „ Μαθηταῖς, ἐὰν ἔχητε πίστιν οὐδὲν ὑμῖν ἀδυνατήσει.

## ΚΕΦΑΛΑΙΟΝ Β΄.

Ἔπειτα τὸ τέλος τῆς ἀνθρωπίνης γενέσεως, ϗ ζωῆς, ϗ τὴν εὐδαιμονίαν αὐτοῦ γίνωσκε ἐν μηδένι ἄλλῳ ὑπάρχειν, εἰ μὴ τῇ τελειώσει τοῦ νοῦ. Τελειοῦται δὲ φυσικῶς τε ὁμοῦ, ϗ ὑπερφυῶς, μετὰ τὸν ἀπὸ τοῦ σώματος χωρισμὸν, συναπτόμενος τῇ πρώτῃ ἀληθείᾳ, ϗ τῷ ἐσχάτῳ ἀγαθῷ, ἃ ϗ ἀμφότερα, αὐτός ἐστιν ὁ Θεός· „Αὕτη γάρ ἐστί, φησιν, ἡ „ μακαριότης τοῦ ἀνθρώπου, ϗ ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκω„σί σε τὸν μόνον ἀληθινὸν Θεὸν, ϗ ὃν ἀπέστειλας Ἰησοῦν Χρι„στόν τουτέστι τὰ τῆς Θεολογίας ϗ τῆς οἰκονομίας μυστήρια, ὧν, τὸ μὲν τῇ ἀληθείᾳ τῆς θείας οὐσίας προσανήκει. τὸ δὲ, τῷ ὑπερβάλλοντι τῆς θείας ἀγαθότητος, ϗ φιλανθρωπίας. Εἰ οὖν τὸ τυχεῖν τῆς εὐδαιμονίας ἐκείνης ἐκ τῆς χάριτος τοῦ Θεοῦ ἡμῖν περιγίνεται, χωρὶς γὰρ αὐτοῦ ποιεῖν οὐ δυνάμεθα οὐδὲν, ἀλλὰ ϗ ἡ ἡμετέρα προαίρεσις ζητεῖται, ϗ ἡ σπουδὴ, ἵνα μὴ προῖκα μόνον, ἀλλὰ ϗ δικαιώσει τινὶ τοῦ ὑπερφυοῦς τύχωμεν τέλους..

ΚΕΦ-

SISMANOGLIO



## ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Ἐφεξῆς γίνωσκε, ϗ πίστευε ἀναμφιβόλως, ὅτι ὁ Θεὸς πανταχοῦ ἐστὶ κατ᾽ οὐσίαν, διότι ἄπειρον ἔχει τὴν οὐσίαν, ϗ κατὰ παρουσίαν, ὅτι ἄπειρον ἔχει τὴν γνῶσιν, ϗ κατὰ δύναμιν, ὅτι ϗ τῇ δυνάμει ὁμοίως, ἄπειρός ἐστι, ϗ ἀόριστος. Καὶ ὅτι ἀγαθώτατος ὢν, ϗ σοφώτατος, ϗ παντοδύναμος, προνοεῖται μὲν πάντων τῶν ὑπ᾽ αὐτοῦ γεγονότων κατὰ τὴν ἑκάστου φύσιν, ϗ τάξιν ἐν τῷ παντὶ, ἄχρι καὶ τοῦ τὰ φυτὰ τοῦ ἀγροῦ ζῆν τε, ϗ διαφόροις ἀμφιέννυσθαι χρώμασιν, αὐτοῦ κελεύοντος, ϗ μηδὲν στρουθίον εἰς παγίδα πίπτειν ἄνευ τοῦ θείου θελήματος. Ἰδιαίτατα δὲ τῶν ἀνθρώπων προνοεῖται, ὧν ϗ αἱ τρίχες ἠριθμημέναι εἰσὶν αὐτῷ. Καὶ ἵνα ἡ ἀγαθότης αὐτοῦ ϗ ἡ δικαιοσύνη ἅμα τὰ ἑαυτῶν ἐνεργῶσιν ἐν ἡμῖν, ἐφορᾷ τὰ ἡμέτερα ἔργα, ϗ σημειοῦται ἀκριβῶς. Ὁρᾷ ἡμᾶς ἱσταμένους, ϗ καθημένους, ϗ κοιμωμένους, ϗ εὐχομένους. ϗ ἐν τῇ μονώσει ἡμῶν, ϗ ἐν ταῖς συναυλίαις, ϗ λαλοῦντας, ϗ σιωπῶντας, ϗ τὴν ἐντεριώνην τῆς διανοίας ἡμῶν, ϗ τὸ ἀκατέργαστον ἔτι ἐν ἡμῖν νόημα καλῶς ἐξεπίσταται. Διὸ καὶ χαίρει μὲν ὁρῶν ἡμᾶς νοοῦντας, ϗ λέγοντας, ϗ ποιοῦντας ἃ συμφωνεῖ τῷ λόγῳ, ϗ τοῖς νόμοις αὐτοῦ. Ἄχθεται δὲ ἐν τοῖς ἐναντίοις, οὐχ ὡς αὐτὸς ζημιούμενος, ἢ κερδαίνων, ἀνενδεὴς γὰρ, ϗ ἀπαθὴς, ἀλλ᾽ ὡς ἡμῶν, ἢ διὰ τῆς φυλακῆς τῶν νόμων αὐτοῦ ἀξίων γινομένων τῆς ἀγάπης αὐτοῦ. Καὶ ἧς ἡτοίμα-

σεν

σαν ἡμῖν εὐδαιμονίας ἐκεῖ. ἢ διὰ τῆς αὐτῶν παραβάσεως, ἀποστροφὴν καὶ κόλασιν αἰώνιον ἑτοιμαζόντων ἡμῖν αὐτοῖς. Καὶ ἀντὶ τοῦ ἀγαθοῦ πατρὸς καὶ Δεσπότου, τῷ πολεμίῳ τῆς σωτηρίας ἡμῶν, καὶ τῇ αὐτοῦ καθ' ἡμῶν σπουδῇ προτιθεμένους. Γινώσκετε, ὅτι καὶ τοῖς ἐκζητοῦσι τὸν Θεὸν, οὐ μόνον ἐν τῷ μέλλοντι μισθαποδότης γίνεται, ἀλλὰ καὶ ἐν τῷδε τῷ βίῳ παρίσταται σύμμαχος, πρόμαχος, σύμβουλος περὶ τῶν πρακτέων. τῶν συνημμένων τῇ ζωῇ ταύτῃ θλίψεων, παντελῶς μὲν οὐκ ἀπαλλάττων, διὰ γὰρ θλίψεων ἀνάγκη εἰς τὴν οὐράνιον ἐκείνην παράκλησιν ἔρχεσθαι, ἀλλὰ ταῖς θλίψεσι τὰς ἀνέσεις ἀναμιγνὺς, καὶ συμμετρῶν τῇ δυνάμει τὰς θλίψεις, καὶ ἕως ἂν αὐτὸς βούληται, μηδὲ τρίχα ἐκ τῆς κεφαλῆς ἡμῶν ἐῶν ἀπόλλυσθαι, καὶ δηλητηρίων πινομένων οὐδὲν βλάπτεσθαι. Καὶ μάλιστα ἐὰν ὑπὲρ αὐτοῦ στρατευώμεθα, τῆς προσκαίρου ταύτης ὑπερορῶντες ζωῆς τῷ ἔρωτι τῆς ἀληθείας. Ὁμοίως δὲ καὶ τοὺς ἀμετανοήτως τὰς ἐντολὰς αὐτοῦ παραβαίνοντας, καὶ ἐν τῷ μέλλοντι ἀπαραιτήτως κολάζει, καὶ ἐν τῷδε τῷ βίῳ. Εἰ γὰρ συγχωρεῖ ποτὲ καί τινας τῶν πονηρῶν εὐοδοῦσθαι ἐνταῦθα, ἀλλὰ κοινὰς ὠφελείας οἰκονομῶν, καὶ αὐτοῖς αὔξων τὴν τιμωρίαν, διὰ τὸ μηκέτι δύνασθαι αὐτοὺς ἐκ τῶν θλίψεων ὠφελεῖσθαι, τῇ ὑπερβολῇ τῶν ἀνέσεων ἐξωκείλαντας. Διὰ ταῦτα φοβοῦ τὸν Θεὸν ἐν πᾶσι σου τοῖς νοήμασι, καὶ τοῖς λόγοις, καὶ τοῖς ἔργοις, καὶ ταῖς ἀναστροφαῖς, διότι ὁ φόβος τοῦ Κυρίου, ἁγνός ἐστιν, ὡς γέγραπται, καὶ τοὺς φοβουμένους αὐτὸν ὁ Κύριος δοξάζει.



ξάζει. Οὐδέ ἐστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Καὶ μηδὲν ἐν τῷ κόσμῳ φοβερὸν ἡγοῦ, εἰμὴ τὸν Θεὸν μόνον. μηδὲ φοβήθητι ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, οὗτοι γὰρ οὐχὶ καὶ τὴν ψυχὴν δύνανται ἀποκτείνειν· φοβήθητι δὲ μᾶλλον, τὸν δυνάμενον τὴν ψυχὴν ἐμβάλλειν τῇ γεέννῃ τοῦ πυρός, ὡς ἀΐδιον, καὶ δίκαιον δικαστήν. Ἐμβάλλει δὲ, διὰ τὸ μὴ δύνασθαι εἰς τὴν ἐν οὐρανοῖς ἀναπτῆναι ζωὴν, τοὺς νεκρωθέντας ταῖς πρὸς θάνατον ἁμαρτίαις. Οὐ θέλω ἐμβάλλεσθαι αὐτοὺς, ἢ νεκροῦσθαι, ἀλλ' ὅτι αὐτοὶ οὕτως ἠθέλησαν ἐν τῷ ἀπόρῳ καταστῆναι τῆς εἰς τὴν οὐράνιον εὐζωΐαν ἀνόδου. Οὐκ οὖν φοβεῖσθαί σε δεῖ οὐ μᾶλλον τὸν Θεὸν, ἢ τὸ προσκρούειν αὐτῷ, καὶ τὸν αἰώνιον τοῦ Θεοῦ τρέμειν νόμον, ὃς ἐπαξιοῖ πάνυ σοφῶς, καὶ δικαίως, ἐν τῇ αὐτῇ ζωῇ εἶναι τοὺς οὐχ ὁμοίως βεβιωκότας. Διὰ τοῦτο, κᾂν ὑπὲρ τοῦ θείου νόμου παραδοθῇς καὶ τοῖς ἄρχουσι τῆς γῆς παραστῇς, μὴ ἐνδοιάσῃς, μὴ ὑποπτήξῃς, ἀλλὰ τῷ φόβῳ καταφραχθεὶς τοῦ εἰς τοῦτο γεγονημένου καὶ ἐλθόντος ἵνα μαρτυρήσῃ τῇ ἀληθείᾳ, καὶ διὰ τοῦτο ἀπαρνουμένου ἐν τῷ παγκοσμίῳ θεάτρῳ, τοὺς μὴ ὁμοίως αὐτῷ τὴν περὶ αὐτοῦ ὁμολογοῦντας ἀλήθειαν ἐνώπιον τῶν ἀνθρώπων, ἀλλ' ἀρνουμένους ὑπὸ φιλοζωΐας. Γενναίῳ τῷ φρονήματι ἀπόκριναι, καὶ μὴ μεριμνήσῃς πῶς, ἢ τί λαλήσεις, δοθήσεται γάρ σοι παρὰ Θεοῦ εὐθὺς δύναμις, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ λαλοῦν ἐν σοὶ ἔσται. μετὰ ταπεινώσεως οὖν ἐκδέχου τὴν ἐκείνου ἔμπνευσιν, καὶ οὐ περιόψεται ὁ Κύριος τὸν τῆς ἀληθείας ἀγωνιστήν.

ΚΕΦΑ-

SISMANOGLIO MEGARO

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΑΓάπα τὸν Θεὸν ὑπὲρ πάντα τὰ ὄντα, ὅτι αὐτὸς ἐστὶ τὸ ἄκρον ἐφετὸν, ὅτι τὰ ἐν τῷ κόσμῳ τούτῳ τερπνὰ ἅπαντα φθαρτά εἰσι, καὶ δίκην σκιῶν, ἢ ἐνυπνίων διαλυόμενα, καὶ ἢ αὐτὰ καταλείπουσιν ἡμᾶς τελευτῶντα, τοιαύτην ἔχοντας φύσιν, ἢ ἡμεῖς αὐτὰ καταλείπομεν ἁρπαζόμενοι, ὁ δὲ Θεὸς μόνος διαμένει, καὶ ἡμεῖς, τουτέστιν αἱ ψυχαὶ ἡμῶν· διὰ τοῦτο μετὰ Θεὸν, ὀφείλομεν ἀγαπᾷν, ὑπὲρ πάντα τὸν κόσμον, ἡμᾶς αὐτούς. Τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει τῶν τοῦ κόσμου τερπνῶν οἷς ἐνταῦθα ἐνευπαθεῖ, εἰς ἀντάλλαγμα ἑαυτοῦ, ἐπειδὰν τὰ ἐπίχειρα τῆς ἐνταῦθα ῥαθυμίας καὶ πονηρίας κομίζηται ἐκεῖ; Μετὰ δὲ τὴν ψυχὴν ἡμῶν ἕκαστος τὴν ἰδίαν, ὀφείλομεν ἀγαπᾷν τὸν πλησίον ἡμῶν. Διὰ τοῦτο καὶ σὺ ἀγάπησον Κύριον τὸν Θεόν σου, εἶτα σεαυτὸν, εἶτα τὸν πλησίον σου ὡς σεαυτὸν, κατὰ τοὺς ὑποταχθησομένους καρποὺς τῆς τριπλῆς ἀγάπης, καὶ τὰς περὶ αὐτῶν ἐντολάς.

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

ΕΙ τὸν Θεὸν ἀγαπᾷς τὰς ἐντολὰς αὐτοῦ τήρει, καὶ φύλαττε ἐπιμελῶς· εἰ αὐτὸν ἀγαπᾷς ὑπόμενε πάντα τὰ ἐπερχόμενα, ὅτι ἡ ἀγάπη ὑπομένει. Καὶ ἴσθι πτωχὸς τῷ πνεύ-



πνεύματι, μέτριος, ταπεινόφρων· „Μακάριοι γὰρ οἱ ἐνταῦ„θα πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν „οὐρανῶν. Καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώζει ὁ Κύριος. „Καὶ πᾶς ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, ὁ δὲ μὴ ταπεινούμενος ἑκουσίως, ἀκουσίως ὑπὸ τῶν πειρασμῶν ταπεινοῦται. ὅτι ἡ χεὶρ τοῦ Κυρίου κραταιά ἐστι, καὶ τοῖς ὑπερηφάνοις ὁ Κύριος ἀντιτάσσεται, ὡς αὐτοῖς πρώτοις ἀνθισταμένοις τῷ Θεῷ. Ἴσθι οὖν ταπεινὸς τῷ πνεύματι, τῷ λόγῳ, τῷ σχήματι, καὶ τῷ ἔργῳ, ὅτι καρδίαν συντετριμμένην, καὶ τεταπεινωμένην ὁ Κύριος οὐκ ἐξουθενεῖ. Ἔχε παράδειγμα τὸν ταπεινώσαντα ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, τὸν τῇ θεότητι ἀϊδίως ὑπερυψωμένον. Καί τοι, ὁ μὲν, Θεὸς ὢν, ἐταπεινώθη ὑφ' ἑαυτοῦ, τὸ μορφὴν δούλου ἀναλαβεῖν. Σὺ δὲ, ὅτι ἂν φρονήσειας περὶ σεαυτοῦ μέτριον, τὸ ἀληθὲς ἐρεῖς, οὐ ταπεινωθήσῃ, εἰ καὶ ὁ φιλάνθρωπος Θεὸς, τὸ μὴ ὑπερηφανεύεσθαι ἡμᾶς, ἀντὶ τοῦ ταπεινοῦσθαι λογίζεται· καὶ γίνωσκε, ὅτι ὥσπερ τὰ ἀγαθὰ τοῦ κόσμου τούτου, ἀχρεῖα ἡμῖν εἰσὶν ἄνευ τοῦ ἡλιακοῦ φωτὸς, τοῦ προτιθέντος αὐτὰ καὶ γνωρίζοντος τοῖς ὀφθαλμοῖς τῶν ἀνθρώπων. Οὕτω καὶ σύμπασα ἡ ἀρετὴ τοῦ ἀνθρώπου, σκοτεινή ἐστι, χωρὶς ταπεινώσεως, ἡ δὲ ταπείνωσις τίκτει, ὡς εἴρηται, τὴν ὑπομονήν.

## ΚΕΦΑΛΑΙΟΝ ς΄.

ΕΧε πένθος διηνεχὲς ὑπὲρ τῶν ἁμαρτιῶν σου, ὑπὲρ τῶν ἁμαρτιῶν τῆς ἀνθρωπίνης Φύσεως, ὑπὲρ ὧν ὁ Κύριος ἡμῶν ἄνθρωπος γεγονὼς, ἐσαυρώθη τε, ϗ ἀπέθανε· Πένθει διὰ τὴν καταδίκην, ἣν ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος ταύτῃ κατεδικάσθημεν, ϗ ἐν τῷ πειρατηρίῳ τούτου τοῦ βίου, καὶ ταῖς ταλαιπωρίαις τοῦ σώματος, εἰ μὴ γὰρ ὁ Ἀδὰμ ἥμαρτε, καὶ ἡμεῖς ἐν αὐτῷ, οὐκ ἂν οὕτω κατεδικάσθημεν. Πένθει, ὅτι ἐξόρισοι ἐσμὲν τῆς πατρίδος τῆς νοητῆς, ἀποβαλόντες πρῶτον τὴν ἐν τῷ αἰσθητῷ παραδείσῳ ὁδοιπορίαν, ϗ δάκρυσιν ἀνακαλοῦ τὸ ἔλεος, τοῦ ὑπὲρ ἡμῶν ἀναμαρτήτως παθόντος, ὥσε ἡμᾶς ὁδοιπόρους αὖθις ποιῆσαι, οὐκ ἔτι διὰ τοῦ αἰσθητοῦ παραδείσου, ἀλλὰ διὰ τῆς χάριτος τῶν μυσηρίων αὐτοῦ. Οὐδὲ πάντας ἁπλῶς, ἀλλὰ τοὺς ὀρθότητι πίσεως, ϗ ἔργων ἀρίσων σπουδῇ ἑτοιμαζομένους πάντας. Οἱ οὕτω πενθοῦντες μακάριοι, παρακληθήσονται γὰρ ἐκ τοῦ Κυρίου παρακλήσεσιν οὐρανίαις ἐν τῇ πατρίδι, κἀνταῦθα παρακαλοῦνται τῇ βεβαίῳ περὶ τῆς μελλούσης εὐδαιμονίας ἐλπίδι, διὰ τῆς οὐρανόθεν αὐτοῖς καταπεμπομένης πληροφορίας. Τούτων ἁπάντων σεροῦνται οἱ σκληροκάρδιοι, ϗ ἀθετηταὶ, τῶν ἐντολῶν τοῦ Κυρίου. Ἀλλὰ μὴ πένθει, διὰ σέρησιν τινὸς τῶν ἐν κόσμῳ καλῶν, τὸ γὰρ τοιοῦτον πένθος κτείνει τὸν ἄνθρωπον, ἀχαρισίας. ϗ προσπαθείας κοσμικῆς, ϗ πολλῶν θανασίμων ἀῤῥωσημάτων,

SISMANOGLIO



των, ἔκγονον ὄν. Εἰδὲ ἡ προσπάθεια τῆς Φύσεως, ϗ εἰς τοιοῦτον ἀναγκάσει σε πένθος, μετάσησον εὐθὺς τὸ κοσμικὸν δάκρυον εἰς πνευματικὸν πένθος. Εἶτα αἴτησον συγγνώμην ἀπὸ Θεοῦ, ὅτι ὅλως ἐπένθησας διὰ συγγενοῦς, ἢ τινὸς ἀγαπωμένου πράγματος σέρησιν, μήτε διὰ μόνωσιν, ἢ ἀσθένειαν σώματος, ἢ ἔνδειαν τῶν ἀναγκαίων πενθήσῃς, ἀλλ᾽ εὐχαρίσως μᾶλλον ὑπόμενε· ἀκούεις γὰρ ὅτι ὑπομένων ὑπέμεινα τὸν Κύριον, ϗ προσέσχε μοι. Πένθει δὲ καὶ ἐπὶ τοῖς ἰδίοις σου πταίσμασιν, ἵνα διὰ τῶν δακρύων ἀπαλειφθῇ ἡ σημείωσις τῶν ἁμαρτιῶν σου.

## ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

ΘΥμὸς ϗ ὀργὴ, ϗ ἀψιμαχία, ϗ μικροψυχία, μὴ εἰσερχέσθωσαν εἰς τὸ ταμεῖον σοῦ τῆς ψυχῆς. ὁ γὰρ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ϗ ἐξ ἐμπαθείας ἰδίας, ἔνοχος ἔσαι τῇ τοῦ πυρὸς γεέννῃ. Ἀλλὰ πραότης, ϗ ἀοργησία, ϗ μακροθυμία, ϗ ἀνεξικακία ἐμπολιτευέσθωσαν τῇ ψυχῇ σου, ϗ ἐν τοῖς λόγοις σου τὴν τοιαύτην ἕξιν τῆς ψυχῆς ἐπεξεργάζου ὡς οἷόν τε. „Μακάριοι γὰρ οἱ πρᾳεῖς, „ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν τῶν πρᾳέων, τὴν οὐράνιον Ἱερουσαλὴμ, ϗ τὴν ἐπίγειον δὲ διαρκείαν προσλαμβάνουσιν εὐζωοῦντες, ἀνεπιβούλευτοι διαγινόμενοι, ϗ μετὰ τὸν ἀπὸ τοῦ σώματος χωρισμὸν, ἀπαύσως διαφημιζόμενοι, ϗ ὑπὲρ πάντας, τῆς θείας ἀξιούμενοι προνοίας διηνεκῶς. Ἐπὶ τίνα γὰρ,

να γάρ, φησιν, ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾷον, καὶ ἡσύχιον. καὶ τρέμοντά μου τοὺς λόγους. Ἔστω σοι ἡ ὀργὴ κατὰ τῆς ἁμαρτίας, κατὰ τῶν δαιμόνων, οἳ πρὸς αὐτὴν ἐρεθίζουσιν. Εἰ δὲ ἄρχων εἶ, καὶ δικαστής, καὶ κατὰ τῶν πονηρῶν, καὶ ἀδίκων τῶν ἐργατῶν τῆς ἀνομίας. ὥστε ἐξολοθρεύειν τὰ τῆς πονηρίας παραδείγματα. Ἀλλὰ καὶ οὕτω τὴν τιμωρίαν τῶν πονηρῶν, πρῶτον μὲν ἀνοχῇ, εἶτα οἴκτῳ καὶ ἐπιηκείᾳ ὡς οἷόν τε, κέρανυε.

## ΚΕΦΑΛΑΙΟΝ Η'.

Δικαιοσύνην ἀσπάζου, „ Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. ἐὰν διακαῆ πόθον καὶ ἔρωτα σχῇς τῆς ἀρετῆς ταύτης, ἐμπλήσει σου τὸν πόθον ὁ Κύριος, καὶ ἐνταῦθα ἐλευθερῶν σε πάσης δαιμονικῆς, καὶ ἀνθρωπίνης ἐπηρείας, καὶ ἐν τῷ μέλλοντι ἀναπαύων σε. Πείνα, καὶ δίψα τὴν δικαιοσύνην, καὶ ἄλλῳ τρόπῳ, ἵνα ἐκεῖ κορεσθῇς μάλιστα, καὶ ἐνταῦθα μὴ ἀποκάμῃς τῆς θείας χάριτος, ἢ ἀναπληρούσης, ἢ ἐνισχυούσης. Εἰ Ἡγεμὼν εἶ, διάνεμε ἑκάστῳ τῶν ὑπὸ χεῖρα ἐκ τοῦ κοινοῦ, κατὰ ἀναλογίαν τῆς ὠφελείας. ἢ χρείαν, ἣν ἕκαστος τῷ κοινῷ παρέχετε. Εἰ δικαστὴς εἶ, μὴ ἀπεμπώλει τὸ δίκαιον, μὴ λάμβανε πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν κρίναι καὶ τὸν ὑπερέχοντα. Ὁ τοῦ νόμου κανὼν, διὰ πάσης τύχης ἢ τάξεως, ὁμοίως χωρήτω σοι. Εἰ στρατιώτης εἶ, μηδὲν



μηδὲν πράττε παρὰ τὸ διατεταγμένον. Μὴ συκοφάντει, μηδὲ διάσειε μηδένα καὶ ἀρκοῦ τοῖς ὀψωνίοις σου. μὴ ἅρπαζε τὰ μηδέν σοι διαφέροντα. Εἰ ἔμπορος εἶ, μὴ συγκάλυπτε τὸ ἐλάττωμα τοῦ πωλουμένου εἰς ἐξαπάτην τῶν ὠνουμένων, μὴ ἄγχε τοὺς ἐνδεεῖς τῷ βάρει τῶν τόκων, μῆνας ἐπὶ μησὶ, καὶ ἐνιαυτοὺς ἐπὶ ἐνιαυτοῖς λογιζόμενος. στάθμιζε δικαίως, καὶ μήτε σταθμοῖς ἀνίσοις, μήτε ἄλλαις κακουργίαις ἐξαπάτα, καὶ ἀφαίρει τὰ τὸ ἴσον παραλλάττοντα· μὴ ἐπιζήτει τοὺς καιροὺς τε αἰσχροκερδῶς τε, καὶ ἀπανθρώπως ἐν τοῖς πρὸς τὸ ζῆν ἀναγκαίοις, οἰκείαν πρόφασιν πλούτου τὰς τῶν ἀδελφῶν ποιούμενος συμφοράς. μηδὲ ἀποκλείε τὰς ἀποθήκας τοῦ σίτου, καὶ τοῦ οἴνου τιμιουλκῶν· Ἀρκεῖ σοι τῷ κεφαλαίῳ, τοσοῦτον δι' ἔτους ἐκ τῆς ἐμπορίας ἐπικερδᾶναι, ὅσον ὑπηρετήσει σοὶ, μετὰ τῶν συνόντων ταῖς ἐτησίαις χρείαις αὐτάρκως, τοῦ κεφαλαίου μένοντος· ἀφορίσθω σοι καὶ καιρὸς, καὶ τόπος τῆς ἐμπορίας. Μὴ ποίει τὸν οἶκον τοῦ Θεοῦ, οἶκον ἐμπορίου, μηδὲ τὴν ἡμέραν τῆς εὐλαβείας, ἡμέραν ἀνευλαβείας. Ἁπλῶς πολίτης εἶ τῶν εὐπόρων; μὴ σύναπτε οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν, ἐπεμβαίνων τῇ ἐνδείᾳ τῶν γειτονούντων, ἢ ἐνοχλήσεσιν ἐξορίζων, ἢ φανερῶς ἁρπάζων, τῇ προσδοκίᾳ τοῦ φθεῖραι ἂν τὸν δικαστὴν εὐνοίᾳ, καὶ χρήμασιν· Ἰδιώτης εἶ καὶ πτωχὸς; μίσθου σεαυτὸν, ἢ προσαίτει. Μὴ τυμβερύχει, μὴ ἱεροσύλει, μὴ κλέπτε. Ἐπίσκοπος εἶ; προῖκα τὴν χάριν τοῦ πνεύματος διάνεμε τοῖς ἀξίοις, φεῦγε τὴν ἱεροσυλίαν τοῦ Σίμωνος, κατ' ἀ-

κατ' ἀξίαν διάνεμε τοὺς βαθμοὺς, πάντα ποίει, καὶ λέγε ἀπαθῶς, ϗ μηδὲν κατὰ πρόσκλησιν. Ἴσθι τοῖς ὑπὸ σοῦ ποιμαινομένοις δικαιοσύνης ἁπάσης ὑπόδειγμα. εἶργε τοὺς ἀναξίους τῶν Ἱερῶν. Ἱερεὺς εἶ; Περισσευσάτω σου ἡ δικαιοσύνη τῶν προειρημένων ἁπάντων, ὧν ϗ τῇ τάξει περιττεύειν ἐτάχθης, οὐ μόνον γὰρ οὐκ ἔξεστί σοι συναλλάττειν ἀδίκως, ἀλλ' οὐδὲ συναλλάττειν ὅλως ἐπὶ κέρδη τε ϗ ἐμπορικῶς, οὐ μόνον ἀφέξει τῶν τοῖς στρατιώταις παρανομουμένων τοῖς φαύλοις, ἀλλ' οὐδὲ στρατεύσεις ὅλως, οὐ τελωνήσεις, οὐ χειρωνακτήσεις, περιττευσάτω σου ἡ δικαιοσύνη, καὶ τῶν Γραμματέων, ϗ Φαρισσαίων, οἳ περὶ τῶν ἐλαχίστων μικρολογούμενοι, τὸν ἔλαιον, ϗ τὴν κρίσιν περὶ ἐλάττονος ἐποιοῦντο, ϗ τὰ τῶν ὀρφανῶν, ϗ χηρῶν ταῖς οἰκείαις προσανάλισκον εὐπαθείαις, προφάσει ταῖς κατὰ νόμον δεκάταις χρώμενοι. Θρέψει σὲ τοῖς ἀναγκαίοις ὁ Θεὸς, ϗ οἱ βλέποντές σε μόνῃ προσασχολούμενον τῇ λατρείᾳ τοῦ Θεοῦ, ϗ τῇ φροντίδι τῆς τῶν ψυχῶν αὐτῶν σωτηρίας. Μοναχὸς εἶ ϗ τῷ Θεῷ καθοσιωμένος; μὴ ἐπίστρεφε πρὸς τὰς ὕλας τῶν κοσμικῶν ἐπιθυμιῶν, φέρε στενούμενος διὰ πάντων, μᾶλλον δὲ χαῖρε στενούμενος, ἀμεταστρέπτως ἔχου τῆς ἀκτησίας τῆς ὑπακοῆς, τοῦ μηδὲν πρᾶγμα ἔχειν μετὰ τοῦ κόσμου βίου ὡς ὑπέσχου, ὅτι οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον τῆς πνευματικῆς γεωργίας ϗ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Διδάσκαλος εἶ ϗ τοῦ λόγου καθηγεμών; Ἃ διδάσκεις τοὺς ἄλλους, ποίει πρῶτος



πρῶτος αὐτὸς, ὁ γὰρ ποιήσας ϗ διδάξας, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ὁ δὲ χωρὶς τοῦ ποιεῖν διδάσκων, ἐλάχιστος. ὠφελεῖν γὰρ βουλόμενος ἀδικεῖ, καὶ τῷ λόγῳ προσάγων τοῖς ἀγαθοῖς τοὺς ἀκούοντας, ἀφιστᾷ τῷ καθ' ἑαυτὸν ὑποδείγματι. Ἀδικεῖ δὲ ϗ ἑαυτὸν, ἐκ τοῦ ἰδίου λόγου κατακρινόμενος. Ὥσπερ οἱ ἀληθεῖς διδάσκαλοι ἐκ τοῦ αὐτῶν δικαιοῦνται λόγου. Ἀλλὰ καὶ σκανδαλίζοντες τοὺς πολλοὺς τῇ ἀσυμφωνίᾳ τῶν λόγων τε ϗ τοῦ βίου, ϗ τύπτοντες εἰς τὰς συνειδήσεις τῶν ἀδελφῶν, χαλεπῶς ἁμαρτάνουσιν. Ὥστε ϗ συνέφερεν ἂν τοῖς τοιούτοις λίθῳ βαρυτάτῳ τὴν κεφαλὴν προσδήσασιν, ἐν τῷ πελάγει βυθισθῆναι, ἢ ἑνὶ τῶν μικροτέρων ἀνθρώπων σκανδάλου πρόφασιν παρασχεῖν. Σοῦ δὲ τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων λαμψάτω, ὅπως ἴδωσι σοῦ τὰ καλὰ ἔργα, ϗ δοξάσωσι τὸν Θεὸν ϗ Πατέρα τὸν τοῖς ἀνθρώποις ταῦτα διδόντα. Ἁπλῶς εἰπεῖν, ὁποίας ἂν εἴης τάξεώς τε ϗ σχήματος, θέλε πενῆν μᾶλλον μετὰ δικαιοσύνης, ἢ ἐμπλήσασθαι μετὰ ἀδικίας. Θέλε ἀδικεῖσθαι, μᾶλλον ἢ ἀδικεῖν. γνωριεῖς δὲ τὸ δίκαιον ἐν παντὶ, ἔκ τε τῶν πολιτικῶν νόμων, ἔκ τε τῶν ἱερῶν, ἔκ τε τῶν θείων, μάλιστα δὲ ἐκ τοῦ φυσικῶς σοι ἐνυπάρχοντος ὀρθοῦ λόγου, ὅς ἐστιν ὁ νόμος τῆς ἰδίας συνειδήσεως, ϗ ᾧ πᾶς συνᾴδει νόμος θεῖός τε ϗ ἀνθρώπινος. Πρὸ πάντων δίκαζε μεταξὺ Θεοῦ, ϗ Ἡγεμόνων καλῶς, ἀποδιδοὺς τὰ Καίσαρος Καίσαρι, ϗ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Θέλει γὰρ ὁ Θεὸς εἶναι τὸν Καίσαρα; μήτε τὰ ἐν τῷ Καίσαρι διαφέροντα, θέλε

θέλε παρακατέχειν προφάσει τῆς εἰς Θεὸν εὐλαβείας, μήτε φοβηθεὶς τὸν Καίσαρα ὑπὲρ τὸν Θεὸν, τὸ θεῖον ἀπαιτούμενος χρέος. Δίκαζε μεταξὺ Θεοῦ, καὶ πάντων ἀνθρώπων καλῶς. Διαίτα καλῶς καὶ μεταξὺ Θεοῦ καὶ Μαμωνᾶ, τοῦ τῆς σῆς σωτηρίας ἐχθροῦ. Πάντα τῷ Θεῷ θέλε χαρίζεσθαι, πάντα αὐτῷ δουλεύειν, μηδὲν τῷ Μαμωνᾷ. Οὐδεὶς γὰρ δύναται Θεῷ δουλεύειν, καὶ Μαμωνᾷ, οὐδὲ δυσὶ κυρίοις, ἀντικαθιστῶσι τῇ προαιρέσει, καὶ ἐπὶ τα ἐναντιώτατα ἕλκουσι, τοὺς δουλεύειν προειρημένους. Τίς δὲ κοινωνία φωτὶ, καὶ σκότει; σωτῆρι καὶ ὀλέθρῳ; ψεύδει, καὶ ἀληθείᾳ; τῷ ὄντι, καὶ τῷ μὴ ὄντι; Διαίρει καλῶς καὶ μεταξὺ ψυχῆς τε καὶ σώματος ὑφ' ὧν σύγκεισαι. Καὶ τῇ μὲν δίδου τὰ πάντα ἄρχειν, ᾗπερ ἐτάχθη. τῷ δὲ, τὸ πάντα ἄρχεσθαι καὶ ὑπείκειν ἕως συνῶσιν ἀλλήλοις.

## ΚΕΦΑΛΑΙΟΝ Θ'.

ΑΠὸ τοῦ δικαιοπραγεῖν, ἐπὶ τὸ ἐλεεῖν πρόϊθι· ἐλέει, ἵνα ἐλεηθῇς. Ἡ δὲ ἐλεημοσύνη οὐκ ἐν τῷ διδόναι μόνον ἐστιν, ἀλλ' ἐν τῷ παρέχειν μετὰ γλυκύτητος. „Ἱλαρὸν γὰρ δό„την ἀγαπᾷ ὁ Θεός. Καὶ τὸ ἔργον τῆς ἐλεημοσύνης ἄνευ τῆς ἐν τῇ ψυχῇ συμπαθείας, οὐδὲν ἐστὶ σχεδὸν τῷ ποιοῦντι. Ἐλέει πάντας, διαθέσει τε, καὶ ἔργῳ εὐποιΐας, ἀλλὰ μάλιστα τοὺς ἀξιωτέρους. Οὗτοι δὲ εἰσὶν οἱ κατὰ γένος συνημμένοι, ἔπειτα οἱ κοινωφελέστεροι εἰσὶν οἱ ἐνδεέστεροι. Εἶτα ὁ-





δῷ καὶ ἐπὶ τοὺς λοιποὺς ἐκτεινέσθω ἡ φιλανθρωπία σου, κατὰ δύναμιν. Εἰσὶν ἐλεημοσύναι πνευματικαὶ, τῶν σωματικῶν ὠφελιμώτεραι, τοῖς διδοῦσι, καὶ τοῖς λαμβάνουσι. Τουτέστι παραμυθεῖσθαι τοὺς λυπουμένους, συμβουλεύειν τῷ διστάζοντι, διδάσκειν τὸν ἀμαθῆ, σωφρονίζειν τὸν ἁμαρτάνοντα, ἀφιέναι τῷ πταίσαντι, φέρειν τὸν φορτικὸν καὶ τραχὺν, εὔχεσθαι ὑπὲρ πάντων. Τὰ δὲ τῶν σωματικῶν ἐλεημοσυνῶν ἔργα, τρέφειν πεινῶντα, διψῶντα ποτίζειν, ἐνδύειν γυμνὸν, ξένον συνάγειν, ἐπισκέπτεσθαι ἀσθενῆ, λυτροῦσθαι αἰχμάλωτον, θάπτειν τὸν τεθνηκότα, ἔνθα δὲ, καὶ ὅπως μείζων ἡ ἀνάγκη καὶ κατεπείγουσα, ἐκεῖ καὶ οὕτως ἐμμισθότερόν ἐστι τὸ ἐλεεῖν. Ἐλέει δὲ ἐκ τῶν δικαίων σοι, πεπορισμένων. Τὸ γὰρ ἀδίκως κτηθὲν, ἀποκαθιστασθαι χρὴ τῷ ἠδικημένῳ καὶ οὐκ ἀλλοτρίαν χρείαν ἐκπληροῦν. Τοῦτο γὰρ ἀδικεῖν ἐστὶ καὶ οὐκ ἐλεεῖν. Ἐλέει δὲ δαψιλῶς ἐκ τῶν ἀναγκαίων, οὐ τῶν πρὸς τὸν ζῆν ἀναγκαίων, ἅπερ ὥρισται τῷ μέτρῳ, ἀλλ' ἐκ τῶν πρὸς τὸ πρεπόντως τῇ τάξει ζῆν. Ταῦτα γὰρ ἀόριστον ἔχει τὸ μέτρον, καὶ ἂν ἀφελὼν ἀπ' αὐτῶν χορηγήσεις τῷ δεομένῳ, ἔτι μένει τὸ ἀναγκαῖον. Ἐκ τῶν διπλῶν δίδου, ἐκ τῆς εὐπορίας σου δηλονότι, εἴτε βρώματα εἶεν, εἴτε ἐνδύματα, εἰ μὲν τὸν ἐν τελειότητι βίον ἀνείλου, ἐκ τῶν ἁπλῶς διπλῶν. εἰ δὲ ταῖς τοῦ βίου δουλεύεις ἀνάγκαις, ἐκ τῆς εὐπορίας. ἐκ ταύτης γὰρ ἡ ἰδία ἡμῶν χρεία διπλασιάζεται. Οὔτε δὲ τὴν ἰδίαν αὐτάρκειαν διδόναι τοῖς ἀδελφοῖς ἀναγκαζόμεθα, οὔτε τὰ πε-

ριτλεύοντα τῆς αὐταρκείας παρακατέχειν ἐν ταῖς χρείαις τῶν ἀδελφῶν συγχωρούμεθα. Οὐ γὰρ παραχωρῆσαι τῆς οἰκίας, ἀλλ᾽ ὑποδέξασθαι, ϗ συναγαγεῖν δεῖ τὸν ὁδίτην. Οὐδὲ τὸ σιτοδοχεῖον κενῶσαι, ἀλλὰ θρέψαι τὸν τραφῆναι δεόμενον. Τὸ γὰρ μηδὲ πήραν ἔχειν μηδὲ βαλάντιον τοῖς ὑπὲρ τοῦ ὀρθοῦ λόγου στρατευομένοις ἐπ᾽ ὠφελείᾳ τῆς οἰκουμένης ἐντέταλται, ἵνα εὐτόνως, ϗ ἀπροσπαθῶς ἀνύωσι τὸ ἑαυτῶν ἔργον. Διὸ ϗ ὑπὸ τοῦ Κυρίου ἐτρέφοντο, τοῦ προστάγοντος αὐτοῖς τὰς τῶν πιστευόντων καρδίας, τοῦ εἰπόντος, ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. Καὶ νῦν οὕτω τοῖς τὴν προστασίαν τῶν ψυχῶν ἐπιτετραμμένοις διακελεύεται. Τοῖς δὲ τὴν ἰδίαν μόνον οἰκονομοῦσι ζωὴν ἐπιτρέπει, τῶν πρὸς τὸ ζῆν χρησίμων προνοεῖν ἑαυτοῖς τε, ϗ τοῖς συνοῦσιν. Εἰ καὶ τούτοις ἀπαγορεύει τὸ θησαυρίζειν. ϗ σὺ τοίνυν, πορίζου μὲν τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, σὺν νόμῳ, καὶ ἀποτίθει, μὴ θησαύριζε δὲ, μηδὲ κάτεχε κρύψας ἐν ἀσφαλείᾳ, ἀεὶ παλαιοτέροις νεώτερα προστιθεὶς, ἀλλὰ θησαύριζε μᾶλλον ἐν οὐρανοῖς. Ἐκεῖ γάρ σοι διηνεκῶς φυλαχθήσονται φθορᾶς ἁπάσης κρείττονα, τῆς ἀπὸ τοῦ χρόνου, ϗ ζωυφίων, καὶ κλεπτῶν, ϗ δι᾽ ὅσων εἴωθεν ὁ θησαυρὸς δαπανᾶσθαι ϗ ἀφανίζεσθαι. Εἴτε χρημάτων εἴη, εἴτε ἐνδυμάτων, εἴτε τροφίμων. Παραπέμπουσι δὲ ἐκεῖ τῶν πενήτων αἱ χεῖρες Καὶ πολλῷ μᾶλλον οὕτω περισσεύσει σοι τὰ πονούμενα κρείττω πάσης φθορᾶς. Καὶ ἐν τῇ ζωῇ ταύτῃ πλείω μὲν συναγόμενα τοῦ Θεοῦ διδόντος. Αὐτοῦ γὰρ φυλάττοντος διατηρούμενα



εἰσὶ ὡς ἂν οἵ τε πένητες τρέφοιντο τῇ φρονίμῳ ϗ φιλανθρώπῳ σου προαιρέσει, ϗ πολυπλασιάζοιτό σοι ὁ ἐν οὐρανοῖς θησαυρός. Καὶ οὕτως οὐ κενώσεις τῇ ἐλεημοσύνῃ, ἀλλὰ ϗ ὧδε, κἀκεῖ, αὐξήσεις μᾶλλον τὴν περιουσίαν. Γενικῶς δὲ εἰπεῖν, ἐκ τοῦ καρποῦ δίδου κατ᾽ ἐνιαυτὸν τοῖς πτωχοῖς, ϗ τῷ Θεῷ δι᾽ αὐτῶν. ἐκ τῶν εἰσόδων σου κατὰ μῆνα, ἐκ τῆς ζύμης σου κατὰ ἑβδομάδα, ἐκ τῆς τραπέζης σου καθ᾽ ἡμέραν. ϗ ἐκ τοῦ ταμείου σου ὁσάκις ἂν ϗ ὅσα δύναιο, τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, σοὶ, ϗ τοῖς συνοῦσι, φυλαττομένων. Τὸ δὲ διὰ Χριστοῦ πάντα σκορπίσαι, ϗ μηδὲν παρακατασχεῖν, ὃ ϗ δοίη τις ἂν δεηθέντι, συμβάλλεται μὲν τοῖς ἀποδύεσθαι πρὸς τηλικοῦτον ἀγῶνα δυναμένοις, μετὰ Θεοῦ, ὡς τελειότητος ἔργον, οὐκ ἀριθμεῖται ταῖς ἐντολαῖς εἴτ᾽ οὖν ἐπιταγαῖς, ἀλλ᾽ ἐπιτρέπεται τῇ θελήσει.

## ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Καθαρευέτω σου ἡ καρδία ἀπὸ παντὸς πάθους, ὅτι οἱ καθαροὶ τῇ καρδίᾳ τὸν Θεὸν ὄψονται. Καὶ ἐὰν μὴ ἡ καρδία ἡμῶν καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν. Καθαίρεται δὲ ἡ καρδία, τῷ μίσει τῶν κοσμικῶν πάντων, τῇ δι᾽ ἀγάπης ἐπιστροφῇ πρὸς τὸν Κύριον, τῇ διηνεκεῖ μελέτῃ τῶν νόμων αὐτοῦ, τῇ συνεχεῖ ἀναγνώσει, τῇ ἀδιαλείπτῳ εὐχῇ, τῇ ταπεινώσει, τῇ ἀδιακρίτῳ ἀγάπῃ, κατὰ Θεὸν, τοῦ πλησίον.

ΚΕΦΑ-

SISMANOGLIO MEGARO

## ΚΕΦΑΛΑΙΟΝ ΙΑʹ.

ΕΆν ἴδῃς δύω ἀδελφοὺς μαχομένους, εἰρηνοποιήσας διάλλαξον, καὶ φίλωσον, ἵνα κληθῇς υἱὸς Θεοῦ. Αὐτὸς γὰρ ὁ ἀΐδιος τοῦ Θεοῦ λόγος καὶ Υἱὸς, τῇ ἐνανθρωπήσει αὐτοῦ, ἔλυσε τὸ τῆς ἔχθρας μεσότειχον, καὶ κατήλλαξεν ἡμᾶς τῷ Θεῷ καὶ Πατρί. Ποίησον ἐν σεαυτῷ πρῶτον τὴν εἰρήνην, τουτέστι ταῖς ὑποδεεστέραις δυνάμεσι τῆς ψυχῆς σου ὑπακουέτω τὸ σῶμά σου, καὶ ἐκεῖναι τῷ ἐνδοτέρῳ σου λόγῳ, τουτέστι τῇ διανοίᾳ σου, καὶ ὁ λόγος σου τῷ Θεῷ. Καὶ εἰ θέλεις εἰρηνεύειν ἐκ τοῦ πολέμου τῶν δαιμόνων, καὶ τῶν ἀνθρώπων, καὶ ἀμνησικάκως, καὶ μακροθύμως ὑποφέρειν τὰ ἐπιόντα καὶ ἀταράχως, ἐξομολογοῦ καθ' ἑκάστην τῷ Θεῷ περὶ τῶν ἁμαρτιῶν σου, καὶ εὐχαρίστει αὐτῷ διηνεκῶς, ὅτι αὐτὸς ὑπομένει τὰς καθ' ἑκάστην ἡμέραν, καὶ ὥραν ἁμαρτίας σου, μείζους τε, καὶ ἐλάττους. Καὶ νόμιζε σεαυτὸν πάντων ἀνθρώπων ἁμαρτωλότερον.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

ΕΓ ἕνεκα πίστεως, ἢ δικαιοσύνης διωχθείης, μὴ λυπηθῇς, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Χαῖρε δὲ μᾶλλον τῇ πονηρίᾳ τῶν διωκτῶν, εἰς οἰκείαν ἀρετὴν ἀποχρώμενος, καὶ ἀγάπῃ τῆς ἀρετῆς καὶ τῆς ἀληθείας, καὶ ἔρωτι τῆς αἰωνίου ζωῆς. Πάντα ὑπόστηθι, καὶ ἔσω μόνον σου ἡ ψυχὴ καὶ γνώμη, ἑτοίμη πρὸς τὸν ὑπὲρ τῆς ἀληθείας θάνατον,



τον, εἰ δεήσει, ἵνα, κἂν μὴ μαρτυρίῳ τελειωθῇς, κριθῇς μάρτυς τῇ προαιρέσει. Ἐκ Θεοῦ τοιαύτην τόλμαν, καὶ προθυμίαν ζήτων, εἰ ἐκεῖνος βούλεται, καὶ ἐλπίζων, οὐ χωρὶς ποιεῖν οὐδέν τι δυνάμεθα. Μὴ ἐπιπηδήσῃς μέντοι τῷ μαρτυρίῳ, εἰμὴ ὁπόταν ὁ Θεὸς σὲ προτρέπηται, φανερῶν σεαυτὸν ἐπὶ τῇ τῶν πλειόνων οἰκοδομῇ, καὶ κινδυνεύσῃς τῆς ἀληθείας.

## ΚΕΦΑΛΑΙΟΝ ΙΓʹ.

ΕΆν τις ὀνειδίσῃ σε ἀδίκως, καὶ ἅπαν ῥῆμα πονηρὸν εἴπῃ κατὰ σοῦ, καταψευδόμενός σου τῆς πρὸς Θεὸν εὐλαβείας, μὴ ἀγανακτήσῃς, ἀγάλλου δὲ μᾶλλον, καὶ χαῖρε, ὅτι ὁ μισθός σου πολὺς ἐν τῷ οὐρανῷ. Κἂν τις προσελθὼν εἴποι σοι, ὁ δεῖνα κατὰ σοῦ τοιάδε λέγει, ἐπισχὼν ὀλίγον, εἶτα ἐρεῖς ἀφίη αὐτῷ ὁ Κύριος τὴν ἀλήθειαν λέγει. Οὐδέν εἰσι ταῦτα ἐν συγκρίσει, τῶν ἄλλων ἐλαττωμάτων μου, ἃ λανθάνουσι κἀκεῖνον, καὶ σὲ ἀδελφὲ, καὶ πάντας ἀνθρώπους, οἶδε δὲ μόνος ὁ Κύριος, καὶ ἐγώ. Οὕτω, αὐτὸς μὲν ὑπὸ τοῦ Κυρίου στεφανωθήσῃ, τὸν δὲ ἀδελφὸν ἀποπέμψειας σὺν ὠφελείᾳ, εἰ τοιοῦτος ὅλως ἐστίν. Εἶτα εὖξαι καὶ ὑπὲρ ἀμφοτέρων, ἵνα διπλοῦν τὸν στέφανον λάβῃς. Τοὺς δὲ ἐκ τῶν ἀνθρώπων ἐπαίνους μὴ περὶ πλείστου ποιοῦ. Οὐαὶ γὰρ ἡμῖν ὅταν ἐπαινεθῶμεν ὑπὸ τῶν ἀνθρώπων πάντων, εἰ οἷόν τε εἴη, ἀκουσόμεθα γὰρ καὶ αὐτοὶ, ὅτι ἀπελάβομεν τὰ ἀγαθὰ ἡμῶν

ἡμῶν ἐν τῇ ζωῇ ἡμῶν. ἀναλογίζου τὸν Κύριον ἡμῶν ὑπὲρ πάντα, ὃς ἤκουσε παράνομος, ὁ τοῦ νόμου δοτὴρ, ϗ τελειωτὴς, ϗ παντὸς νόμου χορηγὸς τοῖς ἀνθρώποις. Γόης, ὁ πᾶσαν ἐνέργειαν σατανικὴν ἐξορίσας, ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐνδυναστεύουσαν πρότερον. Φίλος τελωνῶν, ϗ ἁμαρτωλῶν, ὁ καθαρὰν ἁπάσης ἁμαρτίας τὴν ἀνθρωπίνην φύσιν λαβὼν, ϗ τὴν ἐν αὐτῇ ζήσας ζωήν. Πλάνος, ὁ τῆς ἀληθείας Διδάσκαλος τῆς ὑπερφυοῦς, ϗ ὑψηλοτάτης, ϗ οὕτω τῇ πλάνῃ τῶν ἀνθρώπων ὑπὸ φιλανθρωπίας συναλγήσας ἐσχάτως, ὥστε ἐλάσαι τοῖς ἑαυτοῦ παθήμασιν, ἀπαλλάξας ταύτης αὐτοὺς, ϗ τὴν ἀλήθειαν ἀναστῆσαι, ϗ τούτου χάριν ἐπαίχθη, ϗ τὸν τῶν κακούργων ἐτελεύτησε θάνατον, ὁ ὑπερφυὴς τῶν ἀγαθῶν θησαυρός. Ἡ τῶν θείων, ϗ ἀνθρωπίνων ἀγαθῶν τελειότης. ϗ δυνάμενος λεγεῶνας ἀγγέλων παραστῆσαι εἰς ἐκτριβὴν τῶν Ἰουδαίων, ϗ συγκινῆσαι τὸ πᾶν, ὅμως ἀνεξικάκει, ἡμῖν ὑπολειμπάνων ὑπογραμμὸν, ϗ ηὔχετο ὑπὲρ τῶν σταυρούντων, ϗ μάλιστα τῶν δι' ἄγνοιαν ἁμαρτανόντων. ἑκουσίως γὰρ ὑπὲρ τῆς ἡμῶν βελτιώσεως ἔφερε τὰ δεινὰ ἐκεῖνα. Ἀλλ' ὁ Θεὸς ϗ Πατὴρ αὐτὸν ὑπερύψωσε διὰ ταῦτα, ϗ ὄνομα αὐτῷ κεχάρισται τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ϗ αὐτὸς συνανυψώσῃ τοὺς τῷ κανόνι αὐτοῦ στοιχεῖσαι προειρημένους, μᾶλλον δὲ αὐτὸς ἦν ὁ Κύριος ἡμῶν, ὁ τὴν δόξαν ταύτην λαμβάνων παρ' ἑαυτοῦ, ϗ τοῦ Πατρὸς, ϗ ὁ διδοὺς. Λαμβάνων μὲν ὡς ἄνθρωπος, διδοὺς δὲ ὡς Θεός. Ἔσῃ δὲ πρὸς τὰ τῶν ἀνθρώπων ὀνείδη ἀτάραχος. Ἐὰν τὰ

καλὰ

SISMANOGLIO MEGARO



καλὰ σπουδάζῃς τῆς δόξης ἕνεκα τοῦ Θεοῦ, ϗ τῆς σῆς σωτηρίας, ἐν γὰρ ταῖς ἀρεταῖς τῶν ἀνθρώπων, ὁ Θεὸς ὑπὸ τῶν ὁρώντων δοξάζεται, θεοφιλῶν ὄντων, ϗ φιλοθέων. Κἂν μὴ θέλωσι φανεροῦν αὐτὰς οἱ ποιοῦντες, ἀλλ' ὁ Θεὸς αὐτὰς φανεροῖ, ὅπως αὐτὸς δοξάζεται εἰς τὴν τῶν δοξαζόντων ὠφέλειαν. εἰδότων, ὅτι πᾶν ἀγαθὸν ἐκ τοῦ Θεοῦ τοῖς ἀνθρώποις ἐστίν. Οὐδεὶς γὰρ ἅψας λύχνον ὑπὸ τὸν μόδιον κρύπτει, ἀλλ' ἐπὶ τὴν λυχνίαν τίθησιν. Ὁ τοίνυν ταῖς τῶν ἀνθρώπων ἀρεταῖς συνεργῶν Θεὸς, αὐτὸς ϗ τὴν αὐτῶν φανέρωσιν ἐπὶ τῇ οἰκείᾳ δόξῃ ποιεῖ. Αὐτὸς τέλος ἡ τῶν δοξαζόντων ὠφέλεια, ϗ ἀδύνατον καταχρατῆσαι ποτὲ τῆς ἀγαθῆς τοῦ ἀγαθοῦ ἀνθρώπου δόξης, τὴν παρὰ τῶν πονηρῶν ψευδῆ δυσφημίαν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

ΦΥλάττου εἰπεῖν τι λοίδωρον ῥῆμα πρὸς τὸν ἀδελφόν σου, ὃς γὰρ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ μωρὲ μετὰ θυμοῦ, ϗ πικρίας, ἢ ὑπεροψίας, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός Εἰκὼν γάρ ἐστι τοῦ Θεοῦ, καθάπερ ϗ σύ. Καὶ πόση δίκη ὀφείλεται τῷ τὴν θείαν εἰκόνα ἐξουθενήσαντι.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕʹ.

ΜΗ' πρόσφερε τὸ δῶρόν σου τῷ Θεῷ, ἐὰν μὴ πρῶτον διαλ-

λαγῇς

λαγῆς τῷ ἀδελφῷ σου ἔχοντι κατὰ σοῦ τι. Οὐ γὰρ μόνον ὀφείλεις μὴ μνησικακεῖν, μηδὲ ἐνέχειν τῷ ἀδελφῷ σου, ἀλλὰ κἂν αὐτὸς δουλεύῃ τῷ πάθει, δικαίαν πρόφασιν ἔχων, τῆς ἀηδίας, ἢ οὐ δικαίαν, ὀφείλεις ἐπιμεληθῆναι τῆς ἰατρείας αὐτοῦ. Καὶ εἰ τὸν σωματικῶς ἀῤῥωστοῦντα ἐπισκέπτεσθαι ὀφείλεις κατὰ δύναμιν, πόσῳ μᾶλλον τὸν ἐν ψυχῇ τὴν λύμην δεξάμενον; καὶ ταῦτα· εἰ οἴεταί σε αἴτιον τῆς ἀγανακτήσεως, ὁπωσδηποτοῦν. Κἂν γινώσκῃς αὐτὸν σκληροκάρδιον, καὶ οὕτως αὐτὸς τὴν διαλλαγὴν ζήτησον, καὶ ἐὰν σοῦ ζητοῦντος, αὐτὸς ἀνανεύῃ μνησικακῶν, ἀναίτιος σύγε, κἂν ἀδιάλλακτος μείνῃ, μήτε ἐν τῇ ψυχῇ σου κατακρίνῃς αὐτὸν, μήτε ἄλλῳ τινὶ ἀνακαλύψῃς τοῦ ἀδελφοῦ τὸ ἀῤῥώστημα. Ἀλλὰ δεήθητι τοῦ Κυρίου ἡμερῶσαι αὐτὸν, ἢ συγχωρῆσαι αὐτῷ. Τούτων προϋποτεθειμένων πρόσφερε θαῤῥούντως τὸ δῶρόν σου, καὶ ἔσται καθάρσιον τῶν ἁμαρτιῶν σου, ταῦτα καθ' ἑκάστην ἡμέραν οὕτω ποίει, καὶ μὴ παραστήσῃς σεαυτὸν τῷ Θεῷ σκάνδαλον ἐν τῇ ψυχῇ περιφέρων. Τοὐλάχιστον μὴ ὑποδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ τῷ τοιούτῳ. Ἀλλὰ τῇ εἰρημένῃ ὁδῷ, πρὸ τῆς νυκτὸς διαλλάγηθι. οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Καὶ ἐν ταῖς νυκτεριναῖς σου πρὸς Θεὸν παραστάσεσι, πῶς ἐξομολογήσῃ αὐτῷ, τοῦ ἰοῦ τῆς ὀργῆς ἔτι μένοντος ἐν τῇ καρδίᾳ σου; ἢ μήπω σπουδάσας αὐτὸν ἀποκαθᾶραι τῆς καρδίας τοῦ ἀδελφοῦ κατὰ δύναμιν; Ζητήσεις δὲ τὴν διαλλαγὴν τὴν πρὸς τὸν ἀδελφὸν, εἰ μὲν αὐτὸς ἐστὶν αἴτιος τοῦ σκανδάλου, ἄνευ δικαιολογίας, μετὰ



μετὰ ταπεινώσεως δὲ καὶ πειθοῦς. Εἰδὲ σὺ, καὶ ἱκανοποιῶν τῷ δικαίῳ πάθει αὐτοῦ τὰ εἰκότα, μετὰ ταπεινώσεως καὶ ὁμολογίας τοῦ πταίσματος.

## ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

ἘΑ'ν ὁ ἀδελφός σου προδήλως ἁμάρτῃ εἰς σὲ, εἶτα μετανοήσας αἰτήσῃ συγγνώμην, μὴν ἀποστραφῇς αὐτοῦ τὴν μετάνοιαν. Κἂν πλειστάκις τοῦτο ποιήσῃ. Λόγου χάριν, ἐὰν ἑβδομηκοντάκις ἑπτὰ, μὴ ἀγανακτήσῃς, μηδὲ τὴν τελευταίαν αὐτοῦ μετάνοιαν ἀποστραφῇς, ἀλλ' ἕως ἂν ἁμαρτάνων μετανοῇ, καὶ ἑαυτόν σοι προσάγῃ, σύγγνωθι καὶ ἄφες αὐτῷ. Ὅτι καὶ ὁ Κύριος ἡμῶν, οὕτως ἡμῖν πᾶσι ποιεῖ. Κἂν μὴ ἀφῶμεν ἡμεῖς τοῖς ἡμῶν ἀδελφοῖς, οὐδὲ ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος δέξεται τὴν τελευταίαν τῶν δούλων ἡμῶν μεταμέλειαν. Ἀλλ' ὡς ἐπηγγείλατο ποιήσειν, οὕτω καὶ ποιεῖ τοῖς μὴ συγκλείουσι τὰ σπλάγχνα πρὸς τοὺς μετανοοῦντας τῶν ἀδελφῶν, ὥσπερ τοῖς μὴ οἰκτείρουσι τὸν σύνδουλον, ἀλλὰ δικαιολογουμένοις ἀσυμπαθῶς, δικαιότερον μᾶλλον ἢ ἐπιεικέστερον ἐπεξέρχεται.

## ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

ἘΑ'ν ὁ ἀδελφός σου ἁμάρτῃ εἰς σὲ, καὶ εἰς τὸν θεῖον νόμον ἐκ πονηρίας, τουτέστιν ἐκ προθέσεως καὶ ἀνεπιστρόφως, ἐν τῇ



ἀδη-

ἀδηλία τοῦ, πότερον ἐν γνώσει, ἢ ἀγνοίᾳ τὸ τοιοῦτον ἁμάρτημα ποιεῖ· πρὸς ὠφέλειαν ἐκείνου, ἢ ἐξ ἀγνοίας, ἐστὶ πονηρὸς, ἢ πρὸς σὴν αὖθις ἀσφάλειαν διὰ τὸ μὴ συναναμίγνυσθαι σε τοῖς πονηροῖς, καὶ τῆς αὐτῶν κακίας παραπολαύειν, ἢ δοκεῖν, ποίησον οὕτω. Παράλαβε αὐτὸν πρῶτον ἰδίως, μηδενὸς ἄλλου μεσιτεύοντος, καὶ σαφήνισον αὐτῷ τὸ ἁμάρτημα μετὰ ἱλαρότητος, κἂν μὲν πείσῃς καὶ μεταβάλῃς, διώρθωσας τὸν ἀδελφόν. Εἰδὲ ἐμμένῃ τοῖς ὁμοίοις, καταφρονήσας σου τὴν διδασκαλίαν, μηδ᾽ οὕτως ὀλιγορήσῃς. Ἀλλ᾽ ἕνα τῶν χρησίμων, ἢ δύω παραλαβὼν, καὶ οἵους μέλλοι ἂν δυσωπεῖσθαι, τὸ αὐτὸ σὺν αὐτοῖς ποίει, οὓς καὶ μάρτυρας ἕξεις παρὰ Θεῷ, καὶ ἀνθρώποις, τῆς περὶ τὸν ἀδελφὸν εὐσπλαγχνίας. Εἰδὲ καὶ αὖθις ἐπιμένῃ τῷ πταίσματι φιλονείκως, εἰπὲ τῇ Ἐκκλησίᾳ. Εἰδὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ Τελώνης. Ἀκοινώνητος μὲν, οὐ μισούμενος δὲ, ἀλλὰ ἐλεούμενος. Καὶ κἂν ἄρχων ᾖ, κἂν ἰδιώτης, κἂν σοφὸς, κἂν ἀπαίδευτος, κἂν Λαϊκὸς, κἂν Μοναχὸς, κἂν Ἐπίσκοπος. Δεῖ γὰρ σὲ φεύγειν ἀπὸ τῶν ὑπὸ προβάτου κωδίῳ τῷ φαινομένῳ, κρυπτόντων τὸν ἐνδότερον λύκον. Καὶ οὐδὲ μετὰ τοιούτου ἐλέγχου τῆς πονηρίας αὐτῶν ἀφίστασθαι αὐτῆς βουλομένων, ἀλλ᾽ ἐν ὑποκρίσει φιλίας, ἢ ἀρετῆς τὰς πιστευούσας συναρπαζόντων καὶ κτεινόντων ψυχάς. Οὐκ ἐπὶ τοῖς τυχοῦσι δὲ ἁμαρτήμασιν, οὐδὲ τοῖς τυχοῦσι προσώποις τὴν τοιαύτην ἐπιμέλειαν ποιητέον, ἀλλ᾽ ἔνθα καὶ τῷ ἁμαρτάνοντι βλάβη μεγάλη, καὶ τῷ δο-





κοῦντι κοινωνεῖν δι᾽ εὐνοίας καὶ συνηθείας, καὶ τοῖς ὁρῶσι σκάνδαλον ἀποτίκτεται, καὶ ὁ τῆς ἐπὶ τῇ διορθώσει σπουδῆς προσδοκᾶσθαι μισθός. Πανταχοῦ τῆς ἀγαθῆς διακρίσεως, καὶ τῆς πρὸς τὸν ἀδελφὸν ἀγάπης, τὸ χρειῶδες ὁριζομένης. Εἰδὲ ἀρχικὴν ἔχει τάξιν εἰς πάντας ἐξάπλου τὴν τοιαύτην κηδεμονίαν, καὶ πάντας προσάγαγε τῇ φυλακῇ τῶν θείων νόμων, κἂν φανερὸν ᾖ τὸ ἁμάρτημα, σωφρόνιζε μετὰ ζήλου τῇ ἐξουσίᾳ χρώμενος, ὡς ὁ Κύριος ἡμῶν τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψεν ἐν τῷ ἱερῷ.

## ΚΕΦΑΛΑΙΟΝ ΙΗʹ.

ΕΑ'ν τις ἐν τῇ συνοδίᾳ σου ταράττῃ σοῦ τὴν εἰρήνην, καὶ σκάνδαλόν σοι ποιεῖ μετὰ Θεοῦ, καὶ ἀνθρώπων, ἔκκοψον αὐτὸν, εἰ καὶ ἐν χρείᾳ καὶ τόπῳ ὀφθαλμοῦ δεξιοῦ, ἢ δεξιᾶς χειρὸς, ὑπάρχει σοι. Πλὴν μετὰ ἀγάπης αὐτοῦ χωρίσθητι, μὴ ἐξουθενήσῃς, μὴ δὲ μισήσῃς, μετὰ τὸ διαστῆναι. Ἀλλ᾽ εὔχου μᾶλλον σωθῆναι αὐτόν. Καὶ αἴτει τὸν Θεὸν εὐλαβῶς διορθώσασθαι καὶ σὲ ἀπὸ τῶν ἐλαττωμάτων σου.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

ΟΜοίως καὶ σὺ ἀεὶ ἀποτρέπου τὸ σκάνδαλον τοῦ πλησίον, ὅτι φθορὰ τῆς ἀγάπης ἐστὶν, εἰδὲ ποιοῦντός σου τὸ ἀγαθὸν, ἢ τὸ ἴδιον, ἢ τὸ κοινωφελὲς, καὶ μάλιστα ἐν τοῖς ἀνήκουσι

πρὸς τὴν ἀλήθειαν τῆς πίστεως σκανδαλίζηταί τις, μὴ φρόντιζε, μὴ δὲ παύου τῆς καλῆς ἐργασίας δι' αὐτό. Ἀλλ' ἄφες αὐτὸν σκανδαλίζεσθαι. Ὁδηγὸς γάρ ἐστι, τυφλὸς τυφλῶν τῶν πειθομένων αὐτοῦ τῇ διαστροφῇ. Ὅρα μέντοιγε, μὴ ἐπιτηδεύειν τὸ ἀγαθὸν ἕνεκα τοῦ σκανδαλίσαι. Ἀπόλλυσι γὰρ τὸν λόγον τοῦ ἀγαθοῦ τὸ γινόμενον. Καὶ σὺ ἐνέχῃ τῇ ἀπολογίᾳ τοῦ σκανδάλου, ὡς εἴρηται.

## ΚΕΦΑΛΑΙΟΝ Κ'.

ἌΝ ὀμόσῃς ποτὲ ἀνάγκης κατεπειγούσης, εὐόρκησον. Κἂν πρὸς ἑτερόπιστον ποιήσῃς τὸν ὅρκον, τότε ϗ πλέον εὐόρκησον, ἵνα μὴ καταφρονήσῃς τῆς πίστεως, ὁρῶν σε τὸν πιστεύειν ὁμολογοῦντα, ταύτης καταφρονοῦντα τῇ ἐπιορκίᾳ. Ἀλλὰ μηδὲ ὀμόσῃς ὅλως, ὅπου μὴ πᾶσα ἐστὶν ἀνάγκη, ἄνευ δὲ τῆς ἐκ τῶν ὅρκων ἰσχύος βεβαίου τοὺς λόγους σου. Εἴτε μέλλεις πιστεύεσθαι, εἴτε μή. Τὸ γὰρ ἐπέκεινα τοῦ ναί, ϗ τοῦ, οὔ, ἐκ τοῦ πονηροῦ ἐστι. Θέλων δὲ χωρὶς ὅρκων πιστεύεσθαι, ἀλήθευε ἀεὶ ἐν τοῖς λόγοις σου, ϗ ταῖς ὑποσχέσεσί σου. Τοῖς γὰρ δεδωκόσι πεῖραν ἀληθείας ϗ ἄνευ ὅρκων πιστεύομεν εὐκολώτερον, ἢ τοῖς ἐπὶ ψεύδει πολλάκις ἑαλωκῶσι, κἂν μυρίους προτείνωσιν ὅρκους, ὥστε ϗ ἁπλῶς φεῦγε τὸ ψεῦδος, ὅτι ὁ ψευδόμενος εὐφραίνει τὸν τοῦ ψεύδους Πατέρα, ϗ ἀρχηγόν, ϗ παροξύνει τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ τοῦ Θεοῦ Πνεῦμα. Εἰδὲ ϗ προκατελήφθης ὑπό τινος





τινος πάθους, ὑποσχέσει ἄνευ ὅρκου ἢ ϗ ἐνόρκως, τοῦ ποιῆσαί τι ἐναντίον τῷ θείῳ νόμῳ, ϗ τῇ ἀγαθῇ συνειδήσει, μὴ θέλε τελειῶσαι τὴν πονηρίαν, προφάσει ἀληθείας καὶ εὐορκίας. Καὶ ἵνα μὴ τοιαύταις ἐμπλοκαῖς περιπίπτῃς, κόλαζέ σου τὴν γλῶσσαν, μήτε λόγος ἀργός, ἢ σαπρὸς ἐκπορευέσθω σου τοῦ στόματος. Ὅτι ϗ ὑπὲρ τοῦ ἀργοῦ λόγου, λόγους δώσεις ἐν ἡμέρᾳ κρίσεως. Ἀλλ' ἅπας σου λόγος ἔσω πρὸς χρείαν εὐσεβῆ, ϗ πρὸς οἰκοδομὴν τῶν ἀκροωμένων ϗ τὸ τοῦ Θεοῦ ὄνομα ἐν ταῖς ὁμιλίαις, ϗ ταῖς προσευχαῖς μετὰ φόβου, ϗ εὐλαβείας προσφερέτω ἡ γλῶσσά σου.

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

ἘΝ πᾶσιν ἁπλῶς ὑπέρβηθι τὸν παιδαγωγικὸν νόμον, τὸν διὰ τοῦ Μωσέως δοθέντα, ὥσπερ οὐδὲ ἐν τῷ ὀμόσαι ὅλως, ϗ ἀπὸ τοῦ μισῆσαι μοιχείαν ϗ τὰ τῆς ἀκολασίας αἴσχη πάντα, ϗ ἀποστραφῆναι τῷ ἔργῳ, ἀνάβηθι ϗ ἐπὶ μηδὲ τοῦ ἐπιθυμῆσαι ὅλως, μηδὲ περιέργως ἰδεῖν. Τοῦτο γὰρ ἐπιθυμίαν τίκτει τὸ οὕτως ἰδεῖν πρὸς ἐπιθυμίαν. καὶ ἡ ἐν ψυχῇ ἐπιθυμία τῆς ἀκολασίας, ἀπηρτισμένη ἀκολασία τῆς καρδίας ἐστι, ϗ ῥίζα τῆς ἐν τῷ ἔργῳ ἀκολασίας. Διὰ τοῦτο ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἀπηρτισμένος μοιχός, κατὰ τὴν ἔνδον ἐνέργειαν τῆς ἀκολασίας ἐστίν.

## ΚΕΦΑΛΑΙΟΝ ΚΒʹ.

ΜΗ' ἀπόδιδου τινὶ κακὸν, ἀντὶ κακῶν, ἀλλ' ἀντιφιλοτίμησαι μᾶλλον τῷ ἀγαθῷ, καὶ τῷ ῥαπίσαντι ἐπὶ τὴν δεξιὰν σιαγόνα, πάρεχε καὶ τὴν ἑτέραν. Πλὴν εἰ μήπου κινδυνεύεται ἡ ἀλήθεια διὰ τὴν σὴν ἀνεξικακίαν. Τοῦτο γὰρ καὶ ὁ τὴν τοιαύτην ἀνεξικακίαν νομοθετῶν ἐποίησεν, Ἰησοῦς ὁ Σωτὴρ ἡμῶν, τῷ ῥαπίσαντι ἐπὶ τὴν σιαγόνα, οὐ μόνον οὐκ ἀντιπαρασχὼν τὴν ἑτέραν, ἀλλὰ καὶ ἐπιτιμητικῶς ἀντειπών. „ Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ, εἰ „ δὲ καλῶς, τί με δέρεις; Ἵνα μὴ δόξῃ σιωπῆσαι, καὶ ὑπομεῖναι τὸν ἀναιδῆ, διὰ τὸ καταγνῶναι καὶ αὐτὸς ἑαυτοῦ, ὡς μὴ καλῶς λελαληκότος. Ἐπὶ γὰρ δικαστηρίου ταῦτα ἐγίνετο. Χωρὶς δὲ τοιαύτης χρείας, ἐμπάρεχε καὶ τὴν ἑτέραν, σιαγόνα τῷ παίοντι. Καὶ τῷ θέλοντί σοι ἀντικριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. Καὶ ἐὰν τίς σε ἀγκαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ καὶ δύω, εἰ δυνατόν. Εἰ γὰρ ἑτοιμάζεις σεαυτὸν πρὸς ἀνοχὴν ἄλλου πλήττοντος, οὐ πλήξεις πρῶτος αὐτός. Καὶ εἰ δώσεις προσαφελέσθαι σοῦ τὸ ἱμάτιον τῷ βουλομένῳ ἀντιδικάζεσθαί σοι περὶ τοῦ χιτῶνος, πῶς ἀνέξῃ λαβεῖν αὐτὸς ἄλλου χιτῶνα; Ἢ τὰς ἐν τοῖς δικαστηρίοις ἐνοχλήσεις πῶς καταδέξῃ, ὑπὸ τῶν ἀδικουμένων αἰρόμενος ἕλκεσθαι; Καὶ εἰ τῇ ὁδῷ προσθήσεις ἀγκαρευόμενος, πῶς ἀγκαρεύσεις ἕτερον; ἢ ἐπιβουλεύσεις τῷ ἀγκαρεύοντι μανικῶς; Διὰ ταύτης τῆς ἀνοχῆς ἔσῃ



ἔσῃ πάσης ἁμαρτίας ἐλεύθερος, τῆς γινομένης ἐκ τοῦ ἀμύνασθαι, καὶ στεφανωθήσῃ ἐκ Θεοῦ καὶ ἀνθρώπων, καὶ τοὺς βίαιον χεῖρα ἐπάγοντας σωφρονίσεις, ἢ τοὺς ὁρῶντας.

## ΚΕΦΑΛΑΙΟΝ ΚΓʹ.

ΠΑντὶ τῷ αἰτοῦντί σε δίδου, μὴ διακρινόμενος, κἂν ἑτερόπιστος ᾖ, καὶ ζητῇ διὰ τὸν Θεὸν, μὴ ἀποστραφῇς, κἂν ἁπλῶς ἀπαιτήσῃ τῇ ἐνδείᾳ προφανεῖ, καὶ δριμείᾳ κατεπειγόμενος, μὴ διὰ τὴν ἀπιστίαν ὀλιγωρήσῃς, ἀλλὰ διὰ τὴν φύσιν ἐλέησον, καὶ διὰ τὸν Θεὸν τὸν πεποιηκότα, καὶ ἀνεχόμενον τῆς κακοπιστίας αὐτοῦ, κἂν ἐχθρὸς ᾖ, ἕρμαιον λάβε τὴν χρείαν τοῦ ὠφεληθῆναι, καὶ τὸν ἄνθρωπον ὠφελῆσαι. Καὶ περιττῶν αὐτοῦ τῇ χρείᾳ βοήθησον. Ἥδιστον ὠφελῆσαί τι τὸν βλάψαντα. εἰ καὶ δεῖ ἡμᾶς εὔχεσθαι καὶ τοῖς μισοῦσιν ἡμᾶς, σωτηρίαν ψυχῆς, καὶ ζωῆς αὐτάρκειαν. κἂν ἁμαρτωλὸς ὁ ζητῶν ᾖ, ἀκατακρίτως ἐλέησον αὐτὸν κατὰ δύναμιν. Καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς· δάνεισον δὲ μὴ ἐπὶ τόκῳ, εἴτε ἀργύριον, εἴτε τὸ ζητούμενον, εἴτε ἄλλο τι τῶν φθειρομένων, καὶ συνιστώντων τὴν ἀνθρωπίνην ζωὴν, ἀλλὰ διὰ μόνην τὴν ὀφειλομένην τῷ πλησίον ἀγάπην. Μηδὲ εἴπῃς, ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω σοι, ἔχων, καὶ δυνάμενος εὐθὺς διδόναι· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Μήτε ἀπόσχου δανεῖσαι τῷ ἀδελφῷ, ὑπολογιζόμενος μήποτε αὐτὸς εἰς χρείαν τοῦ δανείζεσθαι καταστῇς

ταστῆς ὕστερον. Ἔλπιζε δὲ μᾶλλον, ὅτι τῷ Κυρίῳ δανείζεις, ὃς οὐ περιόψεταί σου τὴν χρείαν, κἂν μὴ εὐπορῇς, ἢ δανεῖσαι, ἢ ἐλεῆσαι δαψιλῶς, ἀλλ᾽ ἐκ τῶν ὑπαρχόντων δὸς, κἂν μέλλῃ πολὺ κατόπιν εἶναι τὴν χρείαν τὸ διδόμενον, καὶ ποτήριον ὕδατος ψυχροῦ ἔμμισθόν σοι γενήσεται, ἂν οὐκ ἔχῃς οἶνον παρέχειν, καὶ ἀνθοσμίαν. Κἂν ὡς ἡ χήρα δύω λεπτὰ καταβάλῃς, αὐτὰ μόνον ἔχων, ἀντὶ πολλῶν ταλάντων τῷ κρίνοντι λογισθήσονται. Καίτοι τὸ μὲν ἅπαν, ὁπόσον ἔχει τις διδόναι τοῖς πτωχοῖς, τῆς τελειότητός ἐστιν. Εἰ δὲ ὅπως ποτὲ παντάπασιν ἀπόρως ἔχεις, καίτοι πάνυ καλῶς προαιρούμενος, μὴ ἀθύμει. Ἀλλὰ συμπαθῆσαι τῷ δεομένῳ, καὶ τὸ μηδὲν δύνασθαι αὐτῷ ἐπειπὼν, καὶ εὐξάμενος ἀπόπεμψον. Τοῦτο καὶ κάλλιον τοῦ δοῦναι ἐστίν. ἐκείνῳ μὲν γὰρ ἥδιόν τι καὶ εὐσπλαγχνικώτερον δόξει, σοὶ δὲ μακαριώτερον ἔσται.

## ΚΕΦΑΛΑΙΟΝ ΚΔʹ.

Ἀγάπα τοὺς ἐχθραίνοντάς σοι πάντας ἁπλῶς. Εὐλόγει τοὺς καταρωμένους σου, εὐεργέτει ὡς δύνασαι, καὶ ἐπαίνει. Οὐ προσποιήσει ἀγάπης τοῦτο ποιῶν, ἀλλὰ ἀληθινῇ διαθέσει, τῇ τοῦ Κυρίου ἀποβλέψει, καὶ ἵνα αὐτοὺς ἐπιστρέψῃς ἀπὸ τῆς κακουργίας αὐτῶν. Αἰδεσθήσονται γάρ σου τὴν ἀνεξικακίαν, ἀπλάστως, καὶ ἀνυποκρίτως εὐεργετούμενοι, καὶ φιλούμενοι. Εἰ δὲ μηδὲ τότε, καὶ μᾶλλον διὰ τοῦτο μισθαποδότην ἕξεις τὸν



τὸν Κύριον, ἀεί τε ποιούμενος τῆς σῆς προσευχῆς εὔχου ὑπὲρ παντὸς ἐπηρεάζοντος καὶ διώκοντος. Εὔχου δὲ καὶ πᾶν τὸ πλάσμα τοῦ Θεοῦ σωθῆναι, εἰ δυνατόν. Εἰ γὰρ ἀνταγαπήσῃς τὸν ἀγαπῶντά σε, τίνα μισθὸν ἕξεις; Καὶ οἱ πονηρότατοι γὰρ τῶν ἀνθρώπων τοῦτο ποιοῦσι. Καὶ ὑπερευχόμενος τῶν εὐεργετούντων σε, καὶ φιλούντων, ἢ τῶν κατὰ σάρκα οἰκείων, τί πλέον ποιεῖς τῶν πολλῶν; Κοινὸν γὰρ πᾶσιν ἀνθρώποις τουτὶ τὸ σπούδασμα. Ἀλλ᾽ ὁ οὐράνιος Πατὴρ ἡμῶν, τελειότατος ὢν, τῷ οἴκτῳ, καὶ τῇ χρηστότητι, ὥσπερ ἐν ἅπασι τέλειός ἐστιν, ἀνατέλλει τὸν ἥλιον, καὶ τὸν ὑετὸν καταπέμπει οὐκ ἀγαθοῖς μόνον, ἀλλὰ καὶ πονηροῖς, εἰ καὶ ἰδιαιτέρᾳ ἀγάπῃ τὸν ἀγαθὸν καὶ φιλόθεον ἀσπάζεται. Χρὴ οὖν καὶ ἡμᾶς τὸν Δημιουργὸν ἡμῶν καὶ Πατέρα μιμεῖσθαι ἐν τοῖς δυνατοῖς πᾶσι.

## ΚΕΦΑΛΑΙΟΝ ΚΕʹ.

Ὅταν νηστεύῃς, ἢ προσεύχῃ, ἢ ἐλεῇς, ἢ τι τῶν ἀγαθῶν ὅλως ποιῇς, καὶ ἄμισθον, μὴ ἐπιγνώτω ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου. Τουτέστι μὴ θέλε φανεροῦν αὐτὸ τοῖς ἀνθρώποις, λόγοις ἢ σχήμασιν, ἢ ἐπιτηδεύσει τινὶ, ἵνα μὴ τὸν μισθὸν ἀπολέσῃς, ἀντιμισθίαν τοῦ ἀγαθοῦ, ὃν ἐβουλεύσω παρὰ τῶν ἀνθρώπων ἔπαινον κομισάμενος. Μήτε ὀνειδίσῃς τινὶ εὐποιΐαν σοῦ πρὸς αὐτὸν γενομένην, νομίζων, ὅτι, εἴ τίποτε ἀγαθοῦ ἔσχες, ἢ ἔχεις, ἢ ποιεῖς, ἐκ Θεοῦ σοι ἐστίν.



SISMANOGLIO MEGARO

ἐστίν. Οὐ χωρὶς, οὐδὲν δυνάμεθα, οὔτε ἔχειν, οὔτε ποιεῖν. Τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; Καὶ εἰ ἔλαβες, πῶς αὐχήσῃ, ὡς μὴ λαβὼν; ἀλλ᾽ οἴκοθεν ἔχων; Τὰς ἁμαρτίας σου μόνον νόμιζε, καὶ λέγε εἶναι ἰδίως σάς. Καὶ τὰ ἐλαττώματα καὶ τὰς ἀσθενείας τῆς φύσεως, ἢ προαιρέσεως. Ὅτι πᾶν τοιοῦτον ἡμῖν ἐκ τῆς προγονικῆς, ἢ φυσικῆς ἁμαρτίας ἐστιν, ἢ τῆς κατ᾽ ἐνέργειαν ἑκάστου προσωπικῆς. Ὁ δὲ Θεὸς ὑπερβολῇ φιλανθρωπίας καὶ μισθοὺς ἐπαγγέλλεται τῆς κατ᾽ ὀφειλὴν αὐτῷ προσαγομένης τῶν αὐτοῦ νόμων ὑπακοῆς. Εἰ μόνον ὑποκρίσεως ἁπάσης, καὶ πραγματείας προσκαίρου καθαρεύουσι τὰ γινόμενα, οὓς ἀποδώσει δήπου περιφανῶς, καὶ δίδωσιν ἐν τῷ τῶν Ἀγγέλων θεάτρῳ, καὶ τῇ κοινωνίᾳ τῶν μακαρίων. Καὶ διὰ τοῦτο χρὴ πάντα ποιεῖν ἀνεπιδείκτως τὰ ἀγαθά.

## ΚΕΦΑΛΑΙΟΝ Κϛʹ.

Ἐπιμελοῦ τῶν πρὸς τὸ ζῆν χρησίμων. σοί τε καὶ τοῖς συνοῦσιν, οἵτινές εἰσιν, ὁ γὰρ ἀμελῶν, καὶ ἀργίᾳ διατρίβων ἀνάξιός ἐστι τῶν ἀνθρωπίνων τε καὶ θείων καλῶν. καὶ παρασκεύαζε τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, ἵνα μήτε δεηθῇς ἄλλων· καὶ δεομένοις ἔχεις διδόναι. Τὸ γὰρ δεῖσθαι ἄλλων ἐν τοῖς ἀναγκαίοις, διὰ τὸ ἐν μείζοσι καὶ ὑψηλοτέροις περισπασθῆναι σπουδάσμασιν. ἃ πρὸς τὸν θεωρητικὸν ἀνήκουσι βίον, ἢ ἐν κοινωφελεστέροις, ἢ διὰ τὰς ἐκ τῶν καιρῶν ἡμῖν συμ-

© SISMANOGLIO



συμβαινούσας ἐνδείας, καὶ παρ᾽ ἐλπίδας ἔσθ᾽ ὅτε, καὶ ἐπαινετὸν ἐστὶν, ὥσπερ ἡ Μαρία ἐπαινεῖται ὑπὲρ τὴν Μάρθαν, ὡς τὴν βελτίω μοῖραν, καὶ ἀναφαίρετον ἐκλεξαμένη. Τὸ δὲ διὰ ῥαθυμίαν καὶ ἀφερεπονίαν, αἰσχρόν ἐστι, καὶ διδόναι μὲν καὶ τοῖς τοιούτοις, τοὺς δυναμένους, ἀνάγκη. Τὸ μέντοι γε εἰς τοιαύτην ἀνάγκην καθίστασθαι ὑπ᾽ ἀργίας, παντὶ νοῦν ἔχοντι φυλάττεσθαι πρέπον ἐστίν. Ἐπιμελοῦ μενοῦν διὰ ταῦτα, μὴ μέντοι γε κατάτρυχε σεαυτὸν ταῖς ὑπὲρ τοῦ μέλλοντος φροντίσιν. Ἀπληστίας γὰρ τοῦτό γε, καὶ ἀπιστίας, καὶ λήθης τοῦ καθ᾽ ἡμέραν ἡμῖν προσδοκωμένου τέλους. μήποτε ἀκούσῃς καὶ σὺ „ Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν „ ἀπὸ σοῦ, ἃ δὲ ἡτοίμασας τίνι ἔσται; Οὐ γὰρ διὰ τὸ μεριμνᾷν ἡμᾶς μόνον περιγίνεται ἡμῖν τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, ἀλλὰ προὔργου, διὰ τὴν θείαν ἐπίσκεψιν, ἣ μὴ μόνον ἀνθρώπων, ἀλλὰ καὶ ὀρνίθων, καὶ βοτάνων κήδεται. Ὁ τοίνυν τὴν ζωὴν ἡμῖν προστιθεὶς ἕως βούλεται, καὶ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἡμῖν φροντίζει. καὶ ἡμέτερον μὲν ἐστὶ τὸ ἐπιμελεῖσθαι καὶ πράττειν· τὸ δὲ ἀνύειν, τῶν κωλυμάτων ἀναιρουμένων, τῆς θείας προνοίας ἐστὶ, καὶ ἡμῖν οὐδὲν ἔσται πλέον ἐκ τῆς τοιαύτης μερίμνης, ἂν ἢ περὶ τὰ δυσχερῆ, καὶ δυνάμενα ἀπασχολεῖν, πάσης ἄλλης ἐπαινουμένης σπουδῆς, καταγινώμεθα, ἢ μεριμνῶμεν διηνεκῶς ἐν ταῖς ψυχαῖς, περὶ τοῦ, τί ἂν ἀποβαίνειν μέλλοι ἐκ τῆς τοιαύτης ἡμῶν τύρβης, ὥσπερ οἱ ἐθνικοὶ ποιοῦσιν οἱ τὴν θείαν οὐ γνωρίζοντες, ἢ μὴ καλῶς γνωρίζοντες, πρόνοιαν. Σὺ δὲ ἐνεργὸς

ἴσθι

ἴσθι, ϗ χρῶ τῇ ἐκ Θεȣ̃ σοι δεδομένῃ πρὸς τὸν βίον παρασκευῇ. Ἀμέριμνος ἴσθι περὶ τῶν ἀποβησομένων, ἐπιῤῥίπτων πᾶσάν σȣ τὴν μέριμναν ἐπὶ τὸν Κύριον. ϗ μὴ μερίμνα σήμερον περὶ τῶν ἀνηκόντων μεριμνηθῆναι τῇ αὔριον, εἴτε ὡς πραχθησομένων ὑπὸ σȣ̃, εἴτε ὡς συμβησομένων σοι. Ἀρκεῖ γὰρ τῇ παρȣ́σῃ ἑκάστοτε ἡμέρᾳ ἡ κακία, ϗ ἡ θλῖψις αὐτῆς. Ἡ δὲ αὔριον αὖθις μεριμνήσει τὰ ἑαυτῆς. Ζήτει προηγȣμένως τὴν βασιλείαν τȣ̃ Θεȣ̃ ϗ τὴν δικαιοσύνην, ϗ τὰ ἄλλα προσεθήσεταί σοι αὐτάρκως, ἢ ϗ ἐκ περισσȣ̃ κατὰ τὴν τῆς θείας προνοίας διάταξιν. Τὰ μὲν, πονȣ̃ντά σοι εὐοδȣ́σης. τὰ δὲ ϗ μὴ δυναμένῳ πονεῖν ϗ ἐργάζεσθαι ἕτοιμα ἐπιπεμπȣ́σης. Μὴν ἔχε τὴν ἐλπίδα σου τῆς ζωῆς ἐπ' ἀνθρώπῳ, ἢ τόπῳ, ἢ ὕλῃ τινὶ, ἢ ἀποσκευῇ, ἢ χρήμασιν· ἐπικατάρατος γὰρ ὁ ἐλπίζων ἐπ' ἄνθρωπον, ϗ ὅσα τȣ̃ ἀνθρωπίνȣ, ϗ προσκαίρȣ βίȣ εἰσίν. Μία σοι μέριμνα ἔσω, πῶς ἀρέσεις τῷ Θεῷ, ϗ αὐτὸς φροντιεῖ σȣ, σȣ̃ ὑπηρετȣ̃ντος τῷ αὐτȣ̃ θελήματι κατὰ δύναμιν, ἢ ἄλλων ὑπηρετȣ́ντων, εἰ σὺ ἀτονῇς, μία σοὶ ἐλπὶς ἔσω, ἡ ἐπὶ τῷ Θεῷ. Αὕτη γὰρ μόνη ἡ ἐλπὶς ȣ̓ καταισχύνει. Ἔσω δέ σοι ϗ ἡ περὶ τῶν καθ' ἑκάστην ἀναγκαίων φροντὶς κατὰ Θεὸν, ϗ κατὰ πᾶσαν τȣ̃ θείȣ νόμȣ ἀπόβλεψιν. Ὡς μήτε τὸ σῶμα, μήτε τὸν νȣ̃ν ἀπασχολεῖν τῆς ὀφειλομένης τῷ Θεῷ λατρείας ἑκάστοτε, ἢ τῶν ἔργων τῆς δυνατῆς τε ϗ ἀναγκαίας πρὸς τὸν ἀδελφὸν εὐποιΐας. Καὶ εἴτινα ἀνάπαυσιν ἔχῃς, συναντώσης σοι τῆς ἀναπληρώσεως τῶν χρειῶν ἐξ ἑ-

τοίμȣ,



τοίμȣ, ϗ κατ' ἐλπίδας, ἀπὸ Θεȣ̃ νόμιζε ταύτην ἔχειν, ϗ κέχρησο αὐτῇ, ὡς ἀπὸ Θεȣ̃ δεδομένῃ, μετ' εὐχαριστίας, ϗ ἐπιχορηγίας τῷ χρῄζοντι. Καὶ εἴτι ἐλλείπῃ σοι μεθ' ὑπομονῆς ἐκ τȣ̃ Κυρίου τὴν ἀναπλήρωσιν ζήτησον, καὶ εὑρήσεις. Κἂν εἰς τὸ μὴ αὐταρκεῖσθαι οἴκοθεν ποτὲ καταστῇς, ἀλλὰ δεηθῆναι ἄλλων ἐν τοῖς ἀναγκαίοις, μὴ ἀναξιοπαθήσῃς ἐπὶ τȣ́τῳ, ἀλλ' ὡς θεῖον ἐκπληρῶν θέλημα, ζήτησον ἐκ τῶν δυναμένων σοι παρέχειν. Μήτε λυπηθῇς προσελθὼν τινὶ, καὶ ἀποτυχὼν, ἢ μισήσῃς διὰ τοῦτο τὸν μὴ παρέχοντα. Ἴσως γὰρ ἄλλῳ, ἀπόκειταί ἐκ Θεȣ̃ ὁ τῆς εἰς σὲ φιλανθρωπίας μισθὸς, ὅς σοι μετὰ προθυμίας παρέξει.

## ΚΕΦΑΛΑΙΟΝ ΚΖʹ.

Ἴσθι ἀπροσπαθὴς εἰς πάντα τὰ τȣ̃ παρόντος κόσμȣ, ϗ ὅλη σȣ ἡ προσπάθεια πρὸς τὴν μέλλȣσαν ζωὴν μετατεθήτω βεβαίως. Ὁ γὰρ ἀγαπῶν Πατέρα, ἢ Μητέρα, ἢ υἱὸν, ἢ θυγατέρα, ἢ ἀδελφὸν, ἢ τι τῶν προσκαίρων, ὑπὲρ τὸν Θεὸν, ϗ τὴν ἐν αὐτῷ ἀποκειμένην ἡμῖν εὐδαιμονίαν, ȣ̓κ ἔστιν ἄξιος τȣ̃ Θεȣ̃ τυγχάνειν. Καὶ εἰ μὲν προέθȣ ἀκολȣθεῖν ὀπίσω τȣ̃ κατὰ Χριστὸν βίȣ, μήτε ἀναβάλλȣ τȣ̃το ποιεῖν, μήτε ποιήσας τȣ̃το αὖθις ὑπόστρεφε διὰ τὴν κηδεμονίαν τῶν κατὰ σάρκα οἰκείων. ȣ̓δὲ ἕνεκα τȣ̃ θάψαι τȣ̀ς γονεῖς, ὡς οἱ πολλοὶ λέγȣσι. Τὸν γὰρ τὴν κατὰ Χριστὸν ζωὴν προαι-

ρȣ́μενον

ῥούμενον οὐ δεῖ παλινοστεῖν εἰς τὸ ἀναμίγνυσθαι τοῖς τὸν ἐμπαθῆ καὶ νεκρὸν βίον βιοῦσιν, ἀλλ' ἐᾶν μᾶλλον χρὴ τοὺς τοιούτους, ἵνα αὐτοὶ τοὺς ἑαυτῶν νεκροὺς θάπτωσι. Σὺ δὲ ὡς οἰκείοις κέχρησο τοῖς ποιοῦσι τὸ θέλημα τοῦ Θεοῦ, καί σε τοῖς εἰς αὐτὸ προβιβάζειν ἔχουσι, καὶ λόγῳ, καὶ πράγματι, ἢ προβιβάζεσθαι ἀπὸ σοῦ δυναμένοις τῷ τοῦ Κυρίου Ἰησοῦ κανόνι ἐν τούτῳ ἑπόμενος. Εἰδὲ τῷ βίῳ ἔτι τῷ κοινωνικῷ ἐμπολιτευόμενος, τῇ ἀπιστίᾳ, ἢ πονηρίᾳ, τῶν κατὰ σάρκα οἰκείων, συγκινδυνεύεις στοργῆς ἕνεκα, ἀπόστηθι αὐτῶν τῆς κοινωνίας, καὶ τῆς εὐνοίας, καὶ ἀποστράφηθι ἔνθα σοὶ Θεὸς τὸ κινδυνευόμενον. Ἔνθα δὲ ἡ τῶν γονέων, ἢ ἄλλων οἰκείων ἀγάπη, μὴ ἀνθίσταται πῃ τῇ θείᾳ ἀγάπῃ, καὶ πολλὴ ἀνάγκη προσπάσχειν αὐτοῖς, καὶ προὔργου τὴν αὐτῶν ἐπιμέλειαν ποιεῖσθαι ὡς δυνατὸν, μάλιστα μὲν, Πατρὸς, ἔπειτα Μητρὸς, εἶτα τέκνων, ἔπειτα ἀδελφῶν, ὅτι ἡ τῆς δυνατῆς περὶ αὐτοὺς εὐνοίας ὀλιγωρία, τῆς θείας ἀγάπης ἐστὶν ἄρνησις. Ἕως γὰρ μὴ ἀμέσως συνάπτῃ τῷ Θεῷ, ἀποῤῥηγνύμενος καθάπαξ τῶν ἐν τῷ βίῳ δεσμῶν, ὡς οἱ ἀληθεῖς τοῦ Χριστοῦ μαθηταὶ, ἀλλ' ἐν τῷ κοινωνικῷ στρέφῃ βίῳ, τὸ καθῆκον ἅπαν ὀφείλεις ἀποδιδόναι πᾶσιν οἷς συνδέδεσαι, πατρίδι τε δηλονότι, καὶ οἰκείοις, καὶ πολίταις. Καὶ εὐσεβήσεις οὕτω ποιῶν, ὥσπερ τὸ ἐναντίον ἀνοσιότητος μεγίστης ἐστίν.

ΚΕΦΑ-



## ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

ΕΑ'ν τις εἴπῃ σοι, ὅτι ὁ δεῖνα διδάσκαλός ἐστιν, ἢ Ἅγιος, καὶ δύναται ὠφελῆσαί σε, μὴ πίστευε ἁπλῶς, μηδὲ προσέρχου ἀβασανίστως, ἀλλ' ἐξέτασον ἀκριβῶς τὰ ἔργα αὐτοῦ, καὶ ἀπὸ τῶν αὐτοῦ καρπῶν ἐπιγνοὺς αὐτὸν, οὕτω πρόσελθε. Ὧν γὰρ σαπρὸς ἐστὶν ὁ καρπὸς, καὶ ὁ ἴδιος βίος, καὶ αὐτοὶ σεσηπότες εἰσὶ, καὶ πῶς ἕτερον δυνήσονται ὠφελῆσαι; Καὶ γὰρ ἀβασανίστως τινὲς προσεληλυθότες τισὶ, καὶ λυμεῶσι περιτυχόντες ἀντὶ σωτήρων, καὶ λύκοις ἀντὶ προβάτων, μεγάλα ἐβλάβησαν. Καὶ ἐὰν μετ' εὐλαβείας προσέλθῃς τινὶ, ὡς δυναμένῳ σὲ ὠφελεῖν ἐξαπατηθῇς, εἶτα ὁδῷ προβαίνων καλῶς αὐτὸν ἐπιγνοίης, ἀντὶ ὠφελεῖν, καὶ βλάπτοντα μᾶλλον, ἀπόστηθι ἀπ' αὐτοῦ. τὴν δὲ ἀποδοθεῖσαν αὐτῷ ἐκ σοῦ εὐλάβειαν, καὶ πίστιν πρότερον, ἔμμισθόν σοι γίνωσκε οὖσαν. Ὁ γὰρ δεχόμενος Προφήτην, εἰς ὄνομα Προφήτου, μισθὸν Προφήτου λήψεται. Καὶ ὁ δεχόμενος παιδίον ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, τὸν Ἰησοῦν δέχεται. Τοῦ ἔργου τῶν εὐλαβῶς ὑποδεχομένων, οὐ κατὰ τὴν ἀξίαν τῶν τιμωμένων τε, καὶ εὐποιουμένων, ἀλλὰ κατὰ τὸν σκοπὸν, καὶ τὴν προθυμίαν κρινομένου τῶν εὐποιούντων. Μὴ μέντοι γε κρίνῃς, ἐὰν τινὰ ἢ σὺ φοράσῃς τοιοῦτον, ἢ καὶ τῇ τῶν πολλῶν φήμῃ κατεγνωσμένος εἴη, ἵνα μὴ κριθῇς ἐκ τοῦ πάντας κρίνοντος ἀφύκτως Θεοῦ, ἔστι γὰρ ὁ κρίνων αὐτὸν, σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Εἴτε τῶν ἱσταμένων ἐστὶν ἐν τοῖς

τοῦ Κυ-

τοῦ Κυρίου θελήμασιν, εἴτε τῶν προσκοπτόντων τε, ϗ πιπτόντων. Πρῶτον μὲν γὰρ, ἐὰν κρίνῃς τὸν ἀδελφὸν ἔντινι παραπτώματι, παραχωρηθήσῃ πεσεῖν εἰς μείζονα, ἐκεῖνος δὲ βοηθῆται κρινόμενος ὑπὸ σοῦ. Ἔπειτα οὔτε τὴν ἀνάστασιν τοῦ πεπτωκότος δεῖ ἀπογινώσκειν, δυναμένου τοῦ Θεοῦ ἀνιστᾷν αὐτὸν ϗ θέλοντος πάνυ, ἢ μόνον μετανοήσειεν ἐπιγνοὺς τὸ αὐτοῦ πταῖσμα. Οὔτε ἐπαίρεσθαι δεῖ τὸν ἱστάμενον· αὐτὸ γὰρ τοῦτο πτῶσις ἐστὶν ἡ μεγίστη, τῷ ἐπὶ τῇ στάσει φρονήσαντι τὶ κατεπαρθῆναι τοῦ ἀδελφοῦ τῷ λογισμῷ, ἢ τῷ ἔργῳ, ἢ ὅλως κρῖναι αὐτόν. Τοῦ μὲν ἵστασθαι, φανεροῦ ὄντος ἐκ τοῦ Θεοῦ ϗ τῆς αὐτοῦ χάριτος. Τῆς δὲ ποικίλης οἰκονομίας τοῦ Θεοῦ περὶ τοὺς πεπτωκότας ἀγνοουμένης. Ἔπειτα ϗ πολλοὶ μὲν κεῖνται τοῖς ἀνθρώποις, ἀλλ' οὐ τῷ Θεῷ, εἰ ϗ δοκοῦσι. Πολλοὶ δὲ κεῖνται τῷ Θεῷ ὀλεθρίως, τοῖς δὲ ἀνθρώποις δοκοῦσιν ἵστασθαι. Πολλάκις δὲ ϗ ἡμεῖς αὐτοὶ δοκὸν ἔχοντες ἐν τῷ ὀφθαλμῷ, περιεργαζόμεθα τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κάρφος, ὑπὸ φιλαυτίας ἅμα ϗ μισαδελφίας διαστρεφόμενοι, ὅτι πολλῷ χεῖρόν ἐστι, καὶ διὰ τοῦτο δεῖ σε πάντοτε τοῦτο φυλάττεσθαι, ϗ τῶν ἰδίων ἁμαρτημάτων ἐπισκεπτικὸν γίνεσθαι, οὐ τῶν ἀλλοτρίων, ὅσον εἰς λόγον μέμψεώς τε ϗ κρίσεως. Τί δὲ προσήκει τοῖς ἀρχικὴν ἔχουσι τάξιν, περὶ τῶν σκανδαλιζόντων πολλοὺς, ἢ βλαπτόντων τῷ παραλόγῳ τοῦ βίου προείρηται.





## ΚΕΦΑΛΑΙΟΝ ΚΘʹ.

Μηδέποτε καταλαλήσῃς τοῦ ἀδελφοῦ σου, τοῦτο γὰρ καὶ πολὺ χεῖρον τοῦ κρίνειν ἐστίν. Ὁ γὰρ κρίνων τὴν ἰδίαν ῥυπαίνει ψυχὴν, τὴν θείαν τάξιν παρανόμως ἁρπάζων. Ὁ δὲ καταλαλῶν, φονεύει τὸν ἀδελφὸν τῷ ξίφει τῆς γλώττης. Ξίφος δὲ οὐδὲν πονηρᾶς γλώττης τομώτερον. Καὶ εἰ δεῖ τὸ ἀκριβὲς λέγειν, χείρονα ἁμαρτάνει φονέως ὁ καταλαλῶν. Τὸ μὲν γὰρ φονεύειν, ἀναιρεῖν ἐστὶ τὴν πρόσκαιρον τοῦ ἀνθρώπου ζωήν. Ὁ δὲ καταλαλῶν, τὴν τιμὴν ϗ τὴν ἀγαθὴν φήμην ἀνατρέπει τοῦ καταλαλουμένου, ὅσον ἐστὶ τῷ ἐφ' ἑαυτῷ. Ἥτις εἰς ἀεὶ διαμένει· καὶ ὑπὲρ ἧς τὰς ἰδίας ζωὰς οἱ σπουδαίως ζῶντες προδιδόασιν ἄνθρωποι. Εἰ τοίνυν ἡ ἀξία τοῦ ἀφαιρουμένου ἀγαθοῦ μετρεῖ τὴν πονηρίαν ἐν τῷ ἀφελομένῳ ϗ ἀδικήσαντι, εὐλόγως ϗ ὁ καταλαλῶν, χείρων ἐστὶ φονέως, ὡς εἴρηται, μεῖζον ἀγαθὸν ἀφαιρούμενος, ἢ ὁ φονεύων, τὴν ἀγαθὴν ἐν ἀνθρώποις περὶ τοῦ ἀδελφοῦ δόξαν.

## ΚΕΦΑΛΑΙΟΝ Λʹ.

Ἁπλῶς δὲ ὅσα θέλεις ἵνα ποιῶσί σοι οἱ ἄνθρωποι, ϗ σοὶ ποίει ὁμοίως πρὸς πάντας, εἰ δυνατόν. Καὶ ἃ σὺ μισεῖς παρ' ἄλλων σοι γίνεσθαι, μηδὲ σὺ ἑτέρῳ ποιήσῃς. Εἰ θέλεις ἀγαπᾶσθαι, ἐπαινεῖσθαι, ἐλεεῖσθαι, περιθάλπεσθαι, εὐχαριστεῖσθαι, ταῦτα ϗ σὺ ποίει τοῖς ἀδελφοῖς. Εἰ μι-

σεῖς τὸ συκοφαντεῖσθαι, τὸ φθονεῖσθαι, τὸ καταλαλεῖσθαι, τὸ ἀποστερεῖσθαι, ἀπέχου τούτων ϗ σὺ πρὸς τὸν ἀδελφόν. Καὶ ἔσω σοι καθόλου κανὼν τῆς πρὸς τὸν ἀδελφὸν διαθέσεως, ἡ πρὸς σεαυτὸν διάθεσις. Καὶ εἰ ὁ Δεσπότης ἡμῶν ἔνιψατο τοὺς πόδας τῶν μαθητῶν, ὑπόδειγμα δεδωκὼς, ἵνα ϗ σὺ ποιῇς τῷ ἀδελφῷ, ἢ πρὸς εὐνοίας ἀπόδειξιν, ἢ ϗ χρείας τοιαύτης προηγημένης, πῶς συγχωρηθήσεταί σοι καταλαλοῦντι ἀπόντος; Καὶ εἰ τῆς ὀφειλομένης ἀγάπης ἐστὶ, τὸ ϗ τὴν ζωὴν ὑπὲρ τοῦ ἀγαπωμένου προκινδυνεύειν, πῶς οὐκ ἔσχατον μῖσος, ϗ τῆς σατανικῆς ἐπέκεινα δυσμενείας, τὸ διὰ τῆς γλώττης κτείνειν τὸν ἀδελφόν; Αὐτός τε τοίνυν μὴ καταλάλει, ϗ ἀπὸ συνεδρίου καταλαλούντων ἀνάστηθι ἢ καθέζου σιγῶν.

## ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

ΔΟξολογίας Θεοῦ, ϗ εὐχαριστίας, ϗ ἐξομολογήσεως ἐν ταῖς προσευχαῖς σου, μηδεὶς ἔσω σοι κόρος, εἰ οἷόν τε, μηδὲ μέτρον. Δυνατὸν γάρ σοι ἐπιμεληθέντι, ϗ ἐν αὐτῷ τῷ ἐργάζεσθαι τὴν διάνοιαν παριστᾶν τῷ Θεῷ. Ζητήσεων δὲ τὸ μέτρον, ϗ ὁ τρόπος, ὥρισται γενικῶς. Ὥστε πᾶν, ὅπερ ἂν ζητοίης ἐκ τοῦ Θεοῦ εἰς ἑπτὰ δεῖν ἀνάγεσθαι. Ἅπερ καὶ ἡ Κυριακὴ εὐχὴ περιέχει. Ὧν τὰ μὲν τρία, εἰς τὴν τῆς ψυχῆς ἀναφέρονται σωτηρίαν ἐν τῇ ἐπιτεύξει τῆς ἐλπιζομένης ἐν τῇ τοῦ Θεοῦ βασιλείᾳ μακαριότητος. Τὰ δὲ ἄλλα
ὡς

SISMANOGLIO



ὡς ἐν προσθήκης εἰσὶ μέρει. Διὸ ϗ ὁ Κύριος, τοῖς αἰτοῦσι πρῶτον τὴν βασιλείαν αὐτοῦ ϗ τὴν δικαιοσύνην, τὰ ἄλλα προστίθησιν. Ἀναφέρειν δὲ ϗ ταῦτα χρὴ πρὸς τὴν ζήτησιν τῆς αἰωνίου ζωῆς. ϗ γὰρ τὸ αὔταρκες τῆς ἐφημέρου τροφῆς ἀναγκαῖον, ὥστε τὸ σῶμα συντηρούμενον ἐν τῇ ζωῇ ταύτῃ μέχρι τινὸς, ὑπουργεῖν τῇ καθάρσει τοῦ πνεύματος, διὰ τῶν τῆς φιλοσοφίας τῆς κατὰ Χριστὸν ἔργων ἐν τοῖς τελειοτέροις, ἢ πρὸς τοὺς πόνους τῶν ἀνθρωπίνων τεχνῶν, ϗ ἐπιτηδευμάτων ἀντέχειν ἐν τοῖς εὐσεβῶς, ϗ δικαίως τὸ ζῆν διὰ τῶν τοιούτων πορίζομένοις. Καὶ ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἀναίρεσις ἐστὶ τῶν κωλυμάτων τῆς αἰωνίου ζωῆς. Καὶ τὸ μὴ εἰσενεχθῆναι εἰς πειρασμὸν, τουτέστι μὴ ἐγκαταλειφθῆναι τῷ βάθει τῶν πειρασμῶν, ἄλλου κωλύματος ἐστὶν ἀναιρετικόν. Καὶ ἡ πονηρία, τουτέστι μοχθηρία τοῦ σώματος, ᾧ συνημμέθα, πολλὰ ἡμῖν προσίσταται πολλοῖς τρόποις, ἧς ἀπαλλάττεσθαι, ὡς οἷόν τε εὐχόμεθα τῷ Θεῷ. Οὗτος ὁ τύπος τῶν ἁρμοζόντων ἡμῖν ζητεῖν ἀπὸ τοῦ ἡμετέρου δημιουργοῦ, ϗ πατρὸς, ϗ ἔτι παρὰ τοῦτον, ἐθνικὴ βαττολογία ἐστίν. Οὐδὲν δὲ διαφέρει, τὸν τύπον τοῦτον, ϗ κατ' εἶδος ἐξαπλοῦντά σε, διὰ πλειόνων ῥημάτων προσεύχεσθαι, εἰς τὰ ἑπτὰ ταῦτα γένη τῶν αἰτήσεων ἀναφερομένων.

## ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

ΟΤαν τι πνευματικὸν ἀγαθὸν ὡρισμένως ζητῇς ἐκ τοῦ
Θεοῦ,

Θεȣ̃, ἢ σωματικὸν μὲν, ἑπόμενον δὲ, καὶ οὐκ ἐναντιέμενον τοῖς πνευματικοῖς, ζήτει θερμῶς, ϗ ταπεινῶς, ϗ ἐμπόνως. Μηδὲ ἅπαξ κρȣ́σας ἀπόϛηθι, ἀλλὰ συνεχῶς κρȣ́ε, ἵνα σοὶ ἀνοιγῇ, ϗ αἴτει ἵνα σοι δοθῇ. „ Πᾶς γὰρ ὁ αἰτῶν „ λαμβάνει, ϗ ὁ ζητῶν εὑρίσκει, ϗ τῷ κρȣ́οντι ἀνοιγήσε„ ται. Καὶ εἰ οἱ ἄνθρωποι, ϗ πονηροὶ ὄντες ἀγαθὰ διδόασι τοῖς τέκνοις αὐτῶν, ϗ μὴ ζητȣ̃σιν ἔϛιν ὅτε, μήτε εἰδόσι πω ζητεῖν, ἢ ϗ ἀντὶ τῶν ἀγαθῶν τὰ βλαβερὰ ζητȣ̃σι δι' ἄγνοιαν, πόσῳ μᾶλλον ὁ πατὴρ ἡμῶν ὁ ȣ̓ράνιος, δώσει ἀγαθὰ τοῖς αἰτȣ̃σιν αὐτὸν ὑπεράγαθος ὤν; Κἂν ζητῶν μὴ λαμβάνῃς, ἢ ὁ Θεὸς δοκιμάζει σε, ἢ ȣ̓ συμφέρει σοι ὃ ζητεῖς, κἂν δοκῇ σοι τοιȣ̃τον, ἢ ἄλλῳ ὑπὲρ ȣ̓ ζητεῖς ȣ̓ συμφέρει. Εἰ δὲ ὑπὲρ σεαυτȣ̃ ζητοίης, ϗ εὐσεβῶς, ϗ ἐμπόνως, ϗ τὰ πρὸς σωτηρίαν συμφέροντα, δώσει σοι πάντως, ἐὰν μὴ διὰ τῆς ὑπομονῆς δοκιμάζῃ σε μᾶλλον.

## ΚΕΦΑΛΑΙΟΝ ΛΓʹ.

ΕΝ ταῖς θλίψεσι, ϗ ϛενοχωρίαις, μὴ ἀθυμήσῃς γινώσκων, ὅτι θλίψεων ἑκȣσίων ϗ ἀκȣσίων ἀνύεται ἡ πρὸς σωτηρίαν ὁδός. Διὰ δὲ τȣ̃ πλατυσμȣ̃, ϗ τῆς ἀνέσεως, ἡ τῆς ἀπωλείας. Μὴ φοβȣ̃ δὲ τὴν τεθλιμμένην ὁδὸν, ὅτι ἀρξάμενος γενναίως, ȣ̓κ εἰς μακρὰν εὑρήσεις παράκλησιν. Μᾶλλον δὲ ἡ θλίψις πᾶσα περὶ τὴν πύλην ἐϛὶ μόνον, ϗ τῷ ἀξιωθέντι, ϗ σπȣδάσαντι εἴσωθεν, διαβῆναι αὐτῆς, ϗ εἰσελ-

θεῖν



θεῖν σὺν ὑπομονῇ, εὐρυχωρία πολλὴ περὶ τὴν ὁδὸν ἀπαντᾷ, ὥσπερ αὖ τȣ̓ναντίον συμβαίνει τοῖς τὴν εὐρεῖαν, ϗ ἄθλιπτον πύλην προῃρημένοις. Εἰ δὲ ϗ ὑπὸ ζυγῷ τινὶ, ἢ φορτίῳ τὴν τῆς ζωῆς τρίβον διαδραμῇς, ἀλλ' ȣ̓ χρή σε δεδιέναι. Ὁ γὰρ ζυγὸς τȣ̃ Κυρίȣ χρηϛὸς, ϗ τὸ φορτίον αὐτοῦ ἐλαφρόν ἐϛιν. ȣ̓ μόνον ὡς συμφωνȣ̃ντα τῇ κατὰ λόγον τοῦ ἀνθρώπȣ ζωῇ, ἧς ϗ πολλοὶ τῶν παλαιῶν ἥψαντο φιλοσόφων, ȣ̓δὲ διὰ τὴν ἐλπιζομένην ἀμοιβὴν, ἀλλ' ὅτι ϗ παρακλήσεις ὁ Κύριος καταπέμπει πολλὰς ἐν τοῖς θλιβεροῖς, ἀνέχων, ϗ ἀναψύχων τȣ̀ς τῇ ἀγάπῃ αὐτȣ̃ προσκακοπαθȣ̃ντας μεθ' ἡδονῆς, ϗ ȣ̓κ ἐῶν πειρασθῆναι ὑπὲρ ὃ δύνανται· ϗ πρὸς μὲν τὰς ἀκȣσίως ἐπερχομένας θλίψεις, γυμνάζȣ, ἑκȣσίως θλίβεσθαι προαιρȣ́μενος, ἐν τροφαῖς δηλονότι, ϗ πόμασι, ϗ ἐνδύμασι, ϗ προόδοις, ϗ ὕπνοις, ϗ ὅλως ἐν τῇ ταπεινοτέρᾳ διὰ πάντων ζωῇ. Συμμέτρως μέντοι, ȣ̓ γὰρ βȣ́λοιτ' ἂν ὁ Θεὸς, ϗ ὁ παρ' αὐτȣ̃ δεδομένος ἡμῖν ὁδηγὸς λόγος, ὑπὲρ τὴν τȣ̃ σώματος δύναμιν ἑκȣσίως κακοπαθεῖν ἡμᾶς. Ἀλλ' ὥσπερ αὐτὸς δοκιμάζων ταῖς τῶν πειρασμῶν ἐπιφοραῖς συγκεράννυσι τὰς ἀνέσεις ταῖς θλίψεσιν, ἵνα μὴ ἐκλυθῶμεν, ȣ̓́τω ϗ ἡμᾶς βȣ́λεται συγκεραννύναι εὐλόγως, ϗ εὐσεβῶς ὅταν ἑκȣσίως θλίβωμεν ἑαυτȣ̀ς. Πρὸς δὲ τὴν ἑκȣ́σιον θλίψιν, ϗ τὴν τȣ̃ σώματος ταπείνωσιν ἄξει σε ἡ ἀγάπη τȣ̃ Θεȣ̃ ϗ τὸ ἐξ αὐτῶν κέρδος· ὅταν τῇ χάριτι αὐτȣ̃ φωτισθεὶς, ἴδῃς τὸ ἐκ τῆς τοιαύτης θλίψεως ϗ ϛενώσεως κέρδος, ὃ ἐϛὶν ἄῤῥητος πλατυσμὸς, ϗ θυμηδία

ψυχῆς

ψυχῆς τοῖς ποθοῦσι μόνοις γινωσκομένη.

## ΚΕΦΑΛΑΙΟΝ ΛΔʹ.

Διηνεκῶς μέμνησο τοῦ θανάτου, καὶ τῆς κρίσεως, καὶ ἑτοιμάζου πρὸς τὴν ἔξοδον, ὅτι οὐκ οἶδας ποίᾳ ὥρᾳ τῆς ἡμέρας, ἢ φυλακῇ τῆς νυκτὸς, ὁ κλέπτου δίκην ἁρπάζων θάνατος ἔρχεται. Μᾶλλον δὲ ἡτοιμασμένος ἴσθι, καὶ εὔζωνος, καὶ ἐγρήγορος, καὶ προσέχων, ἀνημμένοις τοῖς λύχνοις τῆς ψυχῆς σου, τὴν παρουσίαν ἐκδεχόμενος τοῦ Κυρίου. Τὸ πρωῒ λέγε, ὅτι ἑσπέρας ἴσως ἀποθανοῦμαι, καὶ τῇ ἑσπέρᾳ ὅτι αὔριον ἴσως οὐκ ἐγερθήσομαι, ἔχε διηνεκῶς ἐν τῇ μνήμῃ τὸ παράδειγμα τῶν παρθένων ἐκείνων, αἱ διὰ τὴν σπουδὴν καὶ τὴν ῥαθυμίαν, εἰς φρονίμους, καὶ μωρὰς διῃρέθησαν· καὶ αἱ μὲν εὐθὺς ἔτυχον τοῦ νυμφῶνος, ἑτοίμης ἐν αὐταῖς εὑρεθείσης τῆς κατὰ ψυχὴν ζητουμένης λαμπρότητος. Αἱ δὲ οἰκτρῶς ἀπεκλείσθησαν ὀψὲ ἀρξάμεναι ζητεῖν αὐτὴν, καὶ ἀκαίρως. Τὸ παράδειγμα τῶν λαβόντων τὸ τάλαντον, ὧν, οἱ μὲν, ἐκέρδανον ἐπ' αὐτοῖς, καὶ ἀγαθοὶ δοῦλοι, διὰ τοῦτο καὶ πιστοὶ ὠνομάσθησαν, καὶ τῷ Δεσπότῃ συμμετέσχον τῆς εὐδαιμονίας, υἱῶν, καὶ κληρονόμων τάξιν λαβόντες. Οἱ δὲ ἐν ἀμεριμνίᾳ καὶ τρυφῇ κατακρύψαντες τῇ γῇ, καὶ οὐκ ἐξεργασάμενοι τῷ ληφθέντι, αὐτοῦ τε ἐστερήθησαν, καὶ ἀσυμπαθῶς παρεπέμφθησαν τῇ κολάσει. Καὶ εἴτις ἐν σοὶ τοῦ Θεοῦ χάρις ἐστὶν, ἐπεξεργάζου ταύτης ὡς οἷόν τε. Ὡς λόγον ὑπὲρ

πὲρ



αὐτῆς ἀπαιτηθησόμενος. Καὶ μετὰ σπουδῆς διὰ τὴν ἀδηλίαν τῆς τελευτῆς. Ὅτι ὁ παρὼν μόνος καιρός ἐστιν ἐργασίας, ὁ δὲ μετὰ τοῦτον τῆς ἀνταποδόσεως.

## ΚΕΦΑΛΑΙΟΝ ΛΕʹ.

Ἅπαν τὸ ἐμπιστευθέν σοι παρὰ Θεοῦ χάρισμα, δι' οὗ ἰδίᾳ ἕκαστον δύναται καὶ τὸ κοινὸν ὠφελεῖν, εἰ τὸν κοινωνικὸν προῃρήσας βίον μὴ κάτεχε κρύπτων, ἀλλὰ μεταδίδου τοῖς χρῄζουσι, καὶ ὡς αὐτὸ δωρεὰν ἔλαβες παρὰ τοῦ Κυρίου, οὕτω καὶ προῖκα διάνεμε. Μὴ μέντοι δίδου τὰ ἅγια τοῖς κυσὶ, μηδὲ τοὺς μαργαρίτας τοῖς χοίροις ἐπίρριπτε, ἵνα μὴ καὶ τούτους καταπατήσωσι, καὶ σὲ ἀντὶ τοῦ χάριν ὀφλῆσαι, τὰ ἔσχατα διαθῶσι κακά. Κἂν μὴ προσδέχωνταί σου τὴν ἀρχὴν, τὴν περὶ αὐτῶν ἐπιμέλειαν ἀπόστηθι, καὶ τὴν κόνιν τῶν ποδῶν ἐκτινάσσων, κἂν ἐκ τῆς πόλεως ὅλης διώκωσιν, εἰς ἄλλην ἀπόφευγε πόλιν. Οὐ γὰρ δίκαιον οὐδαμῶς φιλονικοῦντα σώζειν τοὺς ὠφελεῖσθαι μὴ βουλομένους, καὶ πρόδηλον ἀναδέχεσθαι κίνδυνον, ἴσως γὰρ ἄλλοις τε πολλοῖς ὠφελιμώτερος ἔσῃ, καὶ τὸν ὑπὲρ τῆς ἀληθείας ἀγῶνα ἐγκαίρως ἀγωνιῇ.

## ΚΕΦΑΛΑΙΟΝ Λϛʹ.

Τὴν νηπιώδη ἀκακίαν, καὶ ἁπλότητα σπούδαζε. ὅτι ἄνευ τῆς τοιαύτης διαθέσεως καὶ παρασκευῆς, ἀδύνατον εἰς τὴν

βασι-

βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν. καὶ τῷ μὲν ἀσφαλίζεσθαι πρὸς τὴν πονηρίαν τοὺς ὄφεις μιμοῦ, τῇ δὲ ἁπλότητι, καὶ εὐθύτητι τὰς περιστεράς. Μεγάλη γὰρ ἀθλιότης τὰ λόγον ἔχοντα πλεονεκτεῖσθαι ὑπὸ τῶν ἀλόγων ζώων ἐν τοῖς τῆς ψυχῆς πλεονεκτήμασι.

## ΚΕΦΑΛΑΙΟΝ ΛΖʹ.

Σπούδαζε πάσας τὰς ἐντολὰς πληροῦν τοῦ Θεοῦ, καὶ μάλιστα ὧν ἡ παράβασις θανάσιμος ἐστὶν ἁμαρτία· αὗται δὲ εἰσὶν αἱ τὴν ἀγάπην καρποφοροῦσαι, καὶ ὧν ἡ παράβασις τῆς ἀγάπης ἐστὶ φθορά. Τῆς ἀγάπης δὲ τοῦ Θεοῦ καὶ τοῦ πλησίον, ὅ, τε γραπτὸς ἐξέχεται νόμος, καὶ οἱ Προφῆται, καὶ ὁ Εὐαγγελικὸς μάλιστα νόμος. Καὶ τῇ ἀγάπῃ ζῇ ἡμῶν ἡ ψυχή, ὥσπερ τὸ σῶμα ζῇ τῇ ψυχῇ, καὶ διὰ τοῦτο μιᾶς τῶν τῆς ἀγάπης ἐντολῶν παραβαινομένης, νεκρούμεθα ψυχικῶς. Καὶ εἴπερ ἀδύνατόν ἐστι ζῆν τὸν νεκρὸν, ἕως ἂν ᾖ νεκρὸς, ἀμήχανον καὶ εἰς τὴν αἰώνιον ζωὴν εἰσελθεῖν τὸν μίαν τῶν τοιούτων ἐντολῶν παραβάντα, καὶ διὰ τοῦτο νενεκρωμένον, καὶ τὴν νέκρωσιν ταύτην ἐν τῇ ἀποχωρήσει τοῦ σώματος ἐπιφερόμενον.

## ΚΕΦΑΛΑΙΟΝ ΛΗʹ.

Ἐὰν πάντα τὰ ἐπιτεταγμένα ποιήσῃς, λέγε ὅτι ἀχρεῖος εἰμὶ δοῦλος. Καὶ μὴ μόνον λέγε, ἀλλὰ φρόνει οὕτως. Οὐχ' ὡς θεῖον πληρῶν ἐπίταγμα περὶ τοῦ οὕτω φρονεῖν, καὶ λέ-



SISMANOGLIO



γειν, ἀλλ' ὡς τῆς ἀληθείας οὕτως ἐχούσης. Ἅπας γὰρ ἡμῖν ἐκ τοῦ Θεοῦ νόμος κείμενος, οὐ τὴν ἀπόδοσιν τῶν ὀφειλομένων αὐτῷ παρ' ἡμῶν σκοπεῖ, ὑπὲρ πᾶσαν ἀπόδοσιν τῶν πρὸς ἡμᾶς οὐσῶν εὐεργεσιῶν τοῦ Θεοῦ, ἀλλὰ τὴν ὑποταγὴν τοῦ θείου θελήματος, ἐν τῷ βούλεσθαι ζῆν ἡμᾶς ὑπὸ τῷ θείῳ κανόνι. Καὶ οὐδὲ ἐστὶν οὐδ' ἕνα καὶ μόνον τοῦ Θεοῦ νόμου πληρῶσαι σὺν ἀκριβείᾳ, μὴ ὅτι γε πάντας ὁμοῦ, τὸν τὴν ἀνθρωπείαν περικειμένον ἀδυναμίαν. Ὁ γὰρ Θεὸς ὑπὸ φιλανθρωπίας τῷ ἐλλείμματι τῆς ὑπακοῆς τὴν σύμφυτον ἡμῖν ἀσθένειαν, τοῦ τε σώματος καὶ τῆς γνώμης ἀντιλογίζεται.

## ΚΕΦΑΛΑΙΟΝ ΛΘʹ.

Ἂν ἁμάρτῃς ὁ, τιοῦν, εἰ καὶ πλείω πρὸς θάνατον, μετανόησον, καὶ ὁ Θεὸς αὐτίκα συγγνώσεταί σοι. Ἡ δὲ μετάνοια τοιαύτη εἶναι ὀφείλει. Πρῶτον χρὴ τὸν ἄνθρωπον καταγνῶναι τῆς ἁμαρτίας, καὶ ἑαυτοῦ δι' αὐτὴν, καὶ εἶτα συντριβῆναι τῇ καρδίᾳ, καὶ θλιβῆναι διὰ τὸν ἀπὸ Θεοῦ μακρυσμὸν, ἐν τῷ τὴν ἁμαρτίαν ἐνηργηκέναι. Εἶτα μισῆσαι αὐτὴν, καὶ τελείως ἀποστραφῆναι. Εἶτα προσελθεῖν τῷ Θεῷ σὺν εὐσεβείᾳ, καὶ τὴν ἁμαρτίαν ἐξομολογήσασθαι καθαρῶς. Εἶτα συντρίβεσθαι διηνεκῶς, καὶ ὁμολογεῖν ὅτι ἁμαρτωλὸς ἐστιν. Εἶτα ποιεῖν ἀντισήκωσίν τινα τοῦ πταίσματος, ἣν ἂν ἐπιτάξειεν ὁ τὴν συγγνώμην διὰ τῆς Ἐκκλησίας διδοὺς ἐκ Θεοῦ. Καὶ ἣν τὸ συνειδὸς οἴκοθεν ὑποβάλλει. Λόγου χάριν

ὑπερηφανεύσω; ταπεινώθητι πολλαπλῶς. Ἐλοιδώρησας; τίμησον. Ἔψεξας; ἐπαίνεσον. Ἐλύπησας; θεράπευσον. Ὠργίσθης; ὑπόμεινον ὀργιζόμενον, ϗ τῷ λυπηθέντι ὑπὸ τῆς ὀργῆς σȣ πρόσθες ἀγάπην. Ἐμίσησας; ἀγάπησον. Ἐγαστριμάργησας; νήστευσον. Ἐπολυλόγησας; σιώπησον. Ἀφεῖλȣ τινός τι; ἀντίστρεψον, ϗ μετὰ προσθήκης. Ἢ ἐκείνῳ μὲν ἀντίστρεψον, ἄλλον δὲ ἐλέησον ἐκ τῶν σῶν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Καὶ γίνωσκε ὅτι ȣ̓δὲ μία ἁμαρτία ἐστὶν ἀσυγχώρητος, εἰμὴ ἡ τῆς σωτηρίας ἀπόγνωσις. Ὁ γὰρ ἀπογινώσκων τὴν σωτηρίαν διὰ πλῆθος ἁμαρτιῶν· ἢ φιλεῖ ποιεῖν τὴν ἁμαρτίαν διηνεκῶς, ἢ ἐξ ὑπερηφανείας ταύτην νοσεῖ τὴν νόσον, ȣ̓ θέλων ταπεινωθῆναι διὰ μετανοίας, ἢ καταψεύδεται τȣ̃ Θεȣ̃ σκληρότητα, καὶ ἀσπλαγχνίαν, τȣ̃ φύσει ἐλεήμονος, ϗ φιλανθρώπȣ, ϗ ἐπιεικεστάτȣ, ὃς πάντα ἡμῖν δέδωκεν, ȣ̓δενὸς δεόμενος παρ' ἡμῶν, ϗ ὃς ἐκ ἦλθε καλέσαι δικαίȣς ἀλλὰ ἁμαρτωλȣ̀ς εἰς μετάνοιαν. ϗ ἐν τȣ́τῳ μέγιστα ϗ ἀνίατα ἁμαρτάνει ὁ ἀπογινώσκων. Καὶ ταύτην οἱ πολλοὶ τῶν Ἁγίων νοȣ̃σι εἰς τὸ Πνεῦμα τὸ Ἅγιον βλασφημίαν, ȣ̓́τε ἐν τῷ νῦν αἰῶνι συγχωρȣμένην, ȣ̓́τε ἐν τῷ μέλλοντι. Ἀλλὰ δὴ πάντα χριστιανὸν πιστεύειν τε ϗ φρονεῖν ἀναμφιβόλως, ὅτι ἐὰν καταγνῷ τῶν ἁμαρτιῶν αὐτȣ̃ ϗ ἐπιστραφῇ πρὸς Κύριον, ϗ μετὰ δακρύων ϗ ταπεινώσεως αὐτȣ̃ δεηθῇ, ὁ Θεὸς εὐθὺς αὐτῷ διαλλάττεται. Ἂν δὲ ϗ ἐπιμέλειαν τῶν ἀγαθῶν προσθῇ, κατὰ τὸ, Ἔκκλινον ἀπὸ κακȣ̃, ϗ ποίησον ἀγαθὸν, ϗ χάριν ἐκ Θεȣ̃ λαμβάνει μεγάλην.



γάλην. Κἂν ἄρξηται ἐπιμελεῖσθαι μετὰ δακρύων, ὁ Θεὸς εὐθὺς αὐτὸν δέχεται. Ἀμνησίκακος γάρ ἐστι τοῖς μετανοȣ̃σιν. Ἔχεις τὸ παράδειγμα τȣ̃ ἀσώτȣ, τῆς πόρνης, τȣ̃ Τελώνȣ, τȣ̃ λῃστȣ̃, μυρία τῆς παλαιᾶς, ϗ τῆς νέας γραφῆς ὑποδείγματα, ϗ διδάγματα. Προ̃ȣ̃ργȣ γὰρ ὁ Θεὸς ἠθέλησε ϗ πάσαις ὁδοῖς τὸ ἀδιάλειπτον τῆς ἀληθȣ̃ς μετανοίας πληροφορῆσαι τȣ̀ς ἁμαρτάνοντας. Ἵνα μηδεὶς ἀπογινώσκῃ διὰ πλῆθος ἁμαρτιῶν, ἀλλὰ θαῤῥȣ́ντως πᾶς τις προσέρχηται διὰ μετανοίας τῷ ἐπιεικεστάτῳ, ϗ συμπαθεστάτῳ πατρὶ, ἰδιαίτατα δὲ αὐτὸς ὁ τȣ̃ Θεȣ̃ λόγος προτρέπεται τȣ̃το λέγων, διάτε τȣ̃ Προδρόμȣ, ϗ δι' ἑαυτȣ̃, μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν ȣ̓ρανῶν. Αὐτὸς γὰρ ἡμῖν τὴν ὁδὸν τῆς ȣ̓ρανίȣ βασιλείας ἠνέῳξε, ϗ Πρόδρομος ὑπὲρ ἡμῶν ἀνῆλθεν ἐκεῖ. Διὸ ϗ ἀναμάρτητος μὲν ἦν, ἐν ὁμοιώματι δὲ σαρκὸς ἁμαρτίας. Ἔκτοτε τοίνυν ἡμῖν ἡ βασιλεία ἠνέῳκται, μόνον δεῖ μετανοεῖν. Τὸ γὰρ μηδὲν ἁμαρτεῖν, χαλεπὸν ἢ ϗ ἀδύνατον. Ἐπιδεικνύσθωσαν δέ σοι ϗ καρπὸν τῆς μετανοίας, οἵτε προειρημένοι κατὰ τὸν τῆς ἀντισηκώσεως λόγον, ϗ ἐφ' ἑκάστῳ τῶν οἰκείων τῷ πταίσματι καρπῶν, ὁ τῆς ἐλεημοσύνης, δι' ȣ̃ τὴν εἰς ἡμᾶς ἐλεημοσύνην ἐπισπασόμεθα τȣ̃ Θεȣ̃ πολυπλȣσιώτερόν τε ϗ ῥᾷον.

## ΚΕΦΑΛΑΙΟΝ Μ'.

Ἐγχείρει τῷ Θεῷ, ϗ διανοίᾳ, ϗ γλώττῃ, διηνεκῶς ὑπὲρ

πὲρ τῶν εἰς σὲ δωρεῶν, παράδειγμα τȣ̃ Ἰησȣ̃ προστησάμενος. Ὅς ἵνα σοὶ τύπος γένηται τȣ̃ τοιȣ́τȣ καλȣ̃, παρέστησεν ἑαυτὸν φανερῶς πολλάκις, τῇ πρὸς τὸν Θεὸν, ϗ Πατέρα εὐχαριστίᾳ. Εὐχαρίστει ȣ̃ν τῷ Κυρίῳ, ὅτι εἶναί σε ἐποίησεν. Ὅτι ἄνθρωπον εἶναι, ὅτι χριστιανὸν, ὅτι πλεονεκτήμασιν ὅσοις δήποτε, ϗ οἵοις δήποτε τὴν σὴν ψυχὴν, ϗ τὸ σῶμα ἐκόσμησεν. Ὅτι ἀπὸ γεννήσεως καθ᾽ ἡμέραν προνοεῖταί σȣ πατρικῶς, χάρισιν, ἐπισκέψεσιν, ὁδηγίαις, κινδύνων ἀπαλλαγαῖς, ψυχικῶν, ϗ σωματικῶν. Εὐχαρίστει ϗ ὑπὲρ τῶν συμβεβηκότων σοι ποτὲ πειρασμῶν. Καὶ νόμιζε τȣ́των πρῶτον μὲν αἰτίαν τὴν προγονικὴν ἁμαρτίαν, ᾗ ἀναγκαίως ἡ κατάστασις αὕτη τοῖς ἀνθρώποις ἐπικολȣ́θησεν, ἡ ἐμπαθής τε ϗ πολυώδυνος, ȣ̓ μᾶλλον ἐπὶ δίκῃ, ἢ καθάρσει τοῖς νȣ̃ν ἔχȣσι, ϗ προαιρȣμένοις καθαίρεσθαι συνεργίᾳ Θεȣ̃. αἰτιῶ ϗ τὰς σὰς ἁμαρτίας ἔπειτα, ϗ νόμιζε πάντα πειρασμὸν εὐεργέτημα θεῖον εἶναι, τοῖς μεθ᾽ ὑπομονῆς αὐτὸν δεχομένοις, ϗ ὠφέλειαν τινὰ ἐξ αὐτȣ̃ σοι προσγίνεσθαι ἢ φανερὰν, ἢ λανθάνȣσαν. Ἰσχυριζόμενος, ὅτι ϗ πλείω πειρασθῆναι ἄξιος ἦσθα, ϗ ὁ Κύριος ἀντελάβετο τῆς ἀδυναμίας σȣ, διὰ τὴν αὐτȣ̃ ἀγαθότητα. Ἐξομολογȣ̃ δὲ διηνεκῶς τῷ Θεῷ, ὅτι ἐν τοῖς πειρασμοῖς ἐμικροψύχησας, ϗ ȣ̓ κατανοήσας τὴν θείαν εὐεργεσίαν, ἐζημιώθης τὸ ἐκ τῆς ὑπομονῆς κέρδος. Εἴπερ ἐν τῇ ὑπομονῇ ἡμῶν τὰς ψυχὰς ἡμῶν κτήσασθαι κελευόμεθα.

ΕΠΙ-



# ΕΠΙΛΟΓΟΣ.

Ταῦτα συντόμως εἰσὶν, ὁ τȣ̃ Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριστȣ̃ νόμος, ταῦτα ἡ πρώτη ϗ ἀληθὴς τȣ̃ Θεȣ̃ λατρεία. Καὶ ὧν χωρὶς, ἀδύνατον εἰσελθεῖν τὸν ἄθρωπον εἰς τὴν ἡτοιμασμένην αὐτῷ εὐδαιμονίαν. Διὸ ϗ ἐξ ἀνάγκης αὐτὰ πληρȣ̃ν ὀφείλομεν πάντες οἱ τὸν χριστιανισμὸν ἐν τῷ βαπτίσματι ὑπεσχημένοι, εἴτε Μοναχοὶ, εἴτε ἐν τοῖς τȣ̃ κόσμȣ ἀναστρεφόμενοι πράγμασι. Καὶ ȣ̓δὲν ὡς εἴρηται, αὐτῶν παραβαίνειν, παραβαίνοντες δὲ, μετανοεῖν ϗ ἐξομολογεῖσθαι χωρὶς τινὸς ὑπερθέσεως. Εἰ δέ τινα αὐτῶν τῷ τελειοτέρῳ βίῳ ἀνήκει, ὃν οἱ Μοναχοὶ ὑπέρχονται δήπȣ, ϗ οἳ καθυπισχνȣ̃νται ἀνύειν μετὰ Θεȣ̃, τὸ μὴ δύνασθαι αὐτῶν ἐφικνεῖσθαι τȣ̀ς ταῖς βιωτικαῖς ἀνάγκαις δȣλεύοντας ȣ̓δὲν αὐτȣ̀ς βλάψει· ἃ δὲ, ϗ ὅπως πρὸς πάντας διαβαίνει χριστιανȣ̀ς, ὡς εἴρηται, τȣ́των πάντες εἰσὶν ὑπεύθυνοι ὁμοίως τῇ φυλακῇ, ϗ κατὰ τὸ μέτρον, ἢ τὴν ποιότητα τῆς αὐτῶν φυλακῆς, ϗ ἡ διαφορά ἐστι τῆς ἐκ Θεȣ̃ ἀμοιβῆς ἐν ταῖς διαφόροις μοναῖς παρ᾽ αὐτῷ. Τȣτέστιν, ἐν τῇ διαφόρῳ Ἡγεμονίᾳ τῆς ἐσχάτης εὐδαιμονίας. Ὥσπερ κατὰ τὰς διαφόρȣς παραβάσεις τῶν θείων νόμων, ὅταν πρὸς θάνατον ὦσιν, αἱ διαφοραί εἰσι τῶν ἐν ᾅδȣ ποινῶν. Εἰ δέ τινα τῶν Ἱερῶν ἐνταλμάτων ἐλλείπȣσιν ἐν τῷδε τῷ γράμματι τὰ μὲν αὐτῶν δυναμικῶς περιέχονται, τὰ δὲ ἐκ τῶν ἱερῶν γραφῶν αὐτὸς ἀναλέξῃ, τὰ δὲ ἡ πεῖρα διδάξει σε τῆς τȣ̃ Θεȣ̃ χάριτος φωτὶ προ-

τὶ προσιθείσης Φῶς ἐν τῇ διανοίᾳ σου, ἕως εἰς τὴν τελειότητα τῆς κατὰ Χριςὸν πολιτείας ἀνενεχθῇς, ἥτις ἐςὶν ἡ παντελὴς τοῦ κόσμου ἀποταγὴ, ϗ τῶν ὑπαρχόντων, ϗ ἀκτησία τελεία, ϗ ςαύρωσις τῶν ἐπιθυμιῶν τῆς σαρκὸς σὺν αὐτῇ, ϗ ἀτονὴς ἀπόβλεψις, ϗ ὑποταγὴ πρὸς τὸν Κύριον, ϗ ὑποταγὴ παντὶ ἀνθρώπῳ διὰ τὸν Κύριον. Ὧ, πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

SIEMANOGLIO MEGARO



# ΓΕΝΑΔΙΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ,

### Διδασκαλία περὶ τῶν θανασίμων, καὶ συγγνωςῶν ἁμαρτημάτων.

Ὁ Μὲν ἀκριβέςερος περὶ τῶν θανασίμων, ϗ συγγνωςῶν ἁμαρτιῶν λόγος, πολλῶν ἂν δέοιτο βιβλίων, ὥςε ἐκτεθῆναι, ϗ ἀκοῶν σοφωτέρων, ὥςε κατανοηθῆναι. Ἐπεὶ δὲ νῦν ϗ τὰ προχειρότερα περὶ αὐτῶν, σχεδὸν ἅπαντες ἀγνοοῦσι δι' ἀνεπισκεψίαν, βοηθοῦντες αὐτοῖς, σαφές τι, ϗ εὐσύνοπτον διαιροῦντες περὶ αὐτῶν, λέγομεν. Καθάπερ τοίνυν τῶν σωματικῶν ἀῤῥωςιῶν ϗ πληγῶν, αἱ μὲν εἰσὶν ἰάσιμοι, αἱ δὲ ἀνίατοι ϗ θανάσιμοι, οὕτω δὴ ϗ ἐπὶ τῶν ἁμαρτιῶν ἔχει, αἵτινες ψυχικαὶ ἀῤῥωςίαι, ϗ πληγαί εἰσιν, ὅτι αἱ μὲν αὐτῶν εἰσὶ θανάσιμοι, αἱ δὲ ἀφέσιμοι ϗ συγγνωςαί. Φανερωθεισῶν δὴ πρῶτον τῶν θανασίμων, ϗ ὁ περὶ τῶν συγγνωςῶν λόγος, εὐθὺς ἔκδηλος ἔςαι. Καθόλου μὲν οὖν ἁμαρτία πρὸς θάνατόν ἐςι, πᾶσα ἐνέργεια τοῦ ἀνθρώπου ἐν τῇ ζωῇ ταύτῃ ἐν ᾗ ἐνεργείᾳ φθείρεται ὁ λόγος τῆς διπλῆς ἀγάπης, τῆς τῷ Θεῷ δηλονότι ὀφειλομένης, ϗ τῷ πλησίον. Ἐπειδὴ γὰρ ὥσπερ τὸ

σῶμα ζῇ τῇ ψυχῇ, οὕτως ἡ ψυχὴ ζῇ τῇ ἀγάπῃ, τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ λέγοντος, ὅτι τῇ ἀγάπῃ ζῶμεν πνευματικῶς· ἑπόμενόν ἐστιν, ὥσπερ τὸ σῶμα νεκρὸν καταλείπεσθαι ἀπολειπούσης αὐτὸ τῆς ψυχῆς, οὕτω καὶ τὴν ψυχὴν νεκροῦσθαι ἀπολειπούσης αὐτὴν τῆς ἀγάπης· νεκροῦσθαι δὲ οὐ φυσικῶς. (ἀθάνατος γὰρ φύσει), ἀλλὰ κατ' ἐνέργειαν, ἐν τῷ ἀποβάλλειν διὰ τῆς τοιαύτης ἁμαρτίας, τὴν ἐλπίδα τῆς τελειότητος, καὶ τῆς ἀποκειμένης ζωῆς, ἥτις ἐλπὶς ἐν τῇ παρούσῃ ζωῇ φυομένη, ἐν τῷ μέλλοντι τελειοῦται. Ἐντεῦθεν εἴρηται ὑπὸ τοῦ Κυρίου ὅτι ὁ νόμος ἅπας, καὶ οἱ Προφῆται ἐκ τῶν δύω ἐντολῶν τῆς ἀγάπης ἤρτηνται. Ἀγαπήσεις γάρ, φησι, Κύριον τὸν Θεόν σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν. Πάσης μὲν γὰρ θείας νομοθεσίας σκοπὸς τὸ προσκολληθῆναι τῷ Θεῷ τὴν ἀνθρωπείαν ψυχήν, ὅς ἐστιν ἀγάπη, κατὰ τὸν θεῖον Ἀπόστολον, καὶ ἔσχατον τέλος, καὶ ἔσχατον ἐφετόν· τοῦτο δὲ γίνεται διὰ τῆς ἀγάπης αὐτοῦ, ἥτις ἐστὶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν αὐτοῦ. Ὁ γὰρ ἀγαπῶν αὐτόν, φησι, τὰς ἐντολὰς αὐτοῦ τηρεῖ· αἱ δὲ ἐντολαὶ πᾶσαι, ἢ τὸ ἀγαπᾷν τὸν Θεὸν νομοθετοῦσιν, ἢ τὸ τὸν πλησίον ἀγαπᾷν συμπεραίνουσι. Διότι πᾶσα ἀνθρώπου ἐνέργεια ἢ πρὸς τὸν Θεὸν ἀμέσως ὁρίζεται, ἢ πρὸς τὸν πλησίον ἀμέσως, δι' αὐτοῦ δὲ πρὸς τὸν Θεόν· καὶ εἰδοποιουμένη μὲν διὰ τῆς ἀγάπης, ἀρετή ἐστι, καὶ λέγεται. Ἐστερημένη δὲ τῆς ἀγάπης, τῆς τοῦ Θεοῦ δηλονότι καὶ τοῦ πλησίον, ἀπεστραμμένη ἁμαρτία, καὶ πονηρία. Ὁρισθείσης δὲ τῆς πρὸς Θεὸν ἁμαρτίας, ἑπόμενον ἐστὶ σκοπεῖν, ὅτι ὅπερ ἂν ἐνεργήσειεν ἄνθρωπος ἐν τῇ ζωῇ ταύτῃ, ἢ νόημα ἐστίν, ἢ λό-



γος, ἢ ἔργον. Διὰ τούτων γὰρ τῶν τριῶν ἀκολούθως ἀνύεται ἡ ἀνθρωπίνη ἐνταῦθα ζωή. Οὐκοῦν ἀρετὴ πᾶσα, τουτέστιν, ἐκπλήρωσις τῆς διπλῆς ἀγάπης· καὶ πᾶσα κακία, τουτέστι, τῆς τριπλῆς ἀγάπης ἀπόπτωσις, ἢ ἐν τῷ νοήματι ἐστίν, ἢ ἐν τῷ λόγῳ, ἢ ἐν τῷ ἔργῳ, ὥστε καὶ ἡ διαφορὰ τῶν συγγνωστῶν, ἢ θανασίμων ἁμαρτημάτων διὰ τῶν τριῶν τούτων διέρχεται. Πᾶν γὰρ ἁμάρτημα θανάσιμον, ἢ τῆς διανοίας ἐστίν, ἢ τῆς γλώττης, ἢ τοῦ σώματος. ὁμοίως δὲ καὶ ἅπαν συγγνωστόν. Ἐπεὶ δὲ τῶν ἀνθρωπίνων ἐνεργειῶν, αἱ μὲν τελειοῦνται ἐν τῇ διανοίᾳ, ὅπου καὶ φύονται τὴν ἀρχήν, αἱ δὲ ἐρχόμεναι ἐν τῷ νῷ, ὡς εἰκὸς τελειοῦνται ἐν τῇ γλώττῃ, αἱ δὲ τελειοῦνται διὰ τοῦ σώματος. εὐλόγως πᾶσαι λαμβάνουσι τὸ εἶδος, καὶ τὴν ἐπωνυμίαν ἐξ ἐκείνου τοῦ μέρους, ἐν ᾧ τελειοῦνται. καὶ αἱ μὲν ὀνομάζονται τῆς διανοίας ἀρεταί, ἢ κακίαι, αἱ δὲ τοῦ λόγου, αἱ δὲ τοῦ ἔργου ἤτοι τοῦ σώματος. Καὶ διὰ τοῦτο πᾶσα πρὸς θάνατον ἁμαρτία, ὡσαύτως δὲ καὶ συγγνωστή, ἢ τῆς ψυχῆς ἐστίν, ἢ τῆς γλώττης, ἢ τοῦ σώματος. Προϋποτίθησι δὲ τὸ μὲν ἁμάρτημα τοῦ σώματος ἁμαρτίαν τινὰ ἐν τῇ γλώττῃ, καὶ ἐν τῇ ψυχῇ. Τὸ δὲ ἁμάρτημα τῆς γλώττης ὁμοίως προϋποτίθησιν ἁμαρτίαν τινὰ ἐν τῇ ψυχῇ, οὐ μὴν τὸ ἀνάπαλιν· καὶ διὰ τοῦτο ἥτις ἁμαρτία πέφυκε τελειοῦσθαι διὰ τοῦ σώματος, ἐὰν θανάσιμος ᾖ, τουτέστι, ἡ φθορὰ τῆς ἀγάπης, ἐν μὲν τῷ ἔργῳ ἐστὶ θανάσιμος, μὴ προβᾶσα δὲ καὶ εἰς ἔργον, ἀλλὰ μέχρι τῆς γλώττης προελθοῦσα ἀπὸ τῆς διανοίας, ἐστὶ συγγνωστή. Ἡ δὲ διὰ τῆς γλώττης τελειουμένη, ἐν μὲν τῷ λόγῳ ἐστὶ θανάσιμος, μὴ προβᾶσα δὲ καὶ εἰς λόγον, ἀλλ' ἐν τῇ διανοίᾳ μείνασα μόνον,

συγγνωστὴ ἐστί. Ἡ δ' ἐν τῇ ψυχῇ μόνῃ τελειοῦσθαι δυναμένη, ἐν αὐτῇ τῇ ψυχῇ μόνῃ, θανάσιμος ἐστί. Διορίζειν δὲ χρὴ καὶ περὶ τῆς ἐν τῇ διανοίᾳ ἁμαρτίας, ἐπεὶ γὰρ τὸ πονηρὸν, καὶ ἐμπαθὲς νόημα ἐν τῇ ψυχῇ, ἄρχεται μὲν ἐν τῷ προσβάλλειν, προβαίνει δὲ ἐν τῷ παλαίειν τὸν λογισμὸν μετὰ τοῦ πάθους, τελειοῦται δὲ ἐν τῇ συγκαταθέσει· ἐν τῇ συγκαταθέσει μόνῃ ἐστὶ θανάσιμον τὸ τῆς διανοίας ἁμάρτημα, ἐν δὲ τῇ πάλῃ ἢ τῇ προσβολῇ συγγνωστὸν ἐστί. Παραδείγματος χάριν, ἡ Πορνεία, φύεται μὲν πρῶτον ἐν τῇ τῆς διανοίας συγκαταθέσει, προβαίνουσα δέ ποτε καὶ φανερουμένη διὰ τῆς γλώττης, τελειοῦται ἐν τῷ σώματι, ἐπειδὰν δὲ τελειωθῇ θανάσιμος οὖσα κατὰ τὸ γένος αὐτῆς (ἔστι γὰρ φθορὰ τῆς ἀγάπης τῆς θείας ἐν ἡμῖν, ὅτι τὰ μέλη τοῦ Χριστοῦ μέλη ποιεῖ τῆς πόρνης), καὶ ἀφιστῶσα τὸν ἄνθρωπον τῆς ἀγάπης τοῦ θεοῦ, καὶ τῶν θείων νόμων προσηλοῖ αὐτὸν τῇ αἰσθητῇ καὶ κεκωλυμένῃ ἡδονῇ. Ὅμως ἐν μὲν τῷ ἔργῳ θανάσιμός ἐστιν, ἐν δὲ τῇ γλώττῃ, καὶ τῇ διανοίᾳ ἔτι οὖσα, συγγνωστή. Γίνεται δὲ καὶ ἐν αὐτοῖς θανάσιμος, ὅταν διὰ τοῦ σώματος πληρωθῇ, ἀναστρεφούσης τῆς νεκρώσεως ἀπὸ τοῦ σώματος, ἐπὶ τὴν γλῶτταν, καὶ τὴν ψυχήν. Καὶ ὅλως πεποιηκὼς τὴν ἁμαρτίαν τότε ὁ ἄνθρωπος, καὶ ὅλος νεκροῦται. Ὡσαύτως τὸ ψεῦδος ἢ ἡ βλασφημία, φύεται μὲν ἐν τῇ διανοίᾳ, τελειοῦται δὲ ἐν τῇ γλώττῃ, καὶ ἔστι διὰ τοῦτο ἐν μὲν τῷ λόγῳ θανάσιμος ἁμαρτία, συγγνωστὴ δὲ ἐν τῇ διανοίᾳ. Ὑπερηφανία δὲ, καὶ φθόνος ἐν τῇ διανοίᾳ καὶ φύεται, καὶ τελειοῦται, ὅθεν ἐν αὐτῇ τῇ διανοίᾳ τὸν τῶν θανασίμων λόγον λαμβάνουσιν, ὑπὸ διορισμῷ μέντοι γε τῷ εἰρημέ-

SISMANOGLIO MEGARO



νῳ, ἂν ἐν τῇ συγκαταθέσει δηλονότι τελειωθῶσιν. Ὥστε δύω συνίστησι καθόλου τὴν πρὸς θάνατον ἁμαρτίαν, ἡ φθορὰ τῆς ἀγάπης τῆς πρὸς τὸν Θεὸν, ἢ τὸν πλησίον, ἢ καὶ ἀμφοτέρων ὁμοῦ, καὶ ἡ τελείωσις τοῦ ἁμαρτήματος, ἐν ἐκείνῳ τῷ μέρει, ἐν ᾧ πέφυκε τελειοῦσθαι. Τούτων οὕτω διορισθέντων ἀκόλουθον ἐστὶ σκοπεῖν, ὅτι ἡ μὲν ἀγάπη τοῦ Θεοῦ κεχώρισταί ποτε τῆς τοῦ πλησίον ἀγάπης κατ' ἐνέργειαν, εἰ καὶ μὴ ἐν τῇ διαθέσει· ἡ δὲ τοῦ πλησίον ἀγάπη, κατὰ νόμον οὖσα, οὐδέποτε τῆς πρὸς Θεὸν ἀγάπης κεχώρισται. Οὐ λέγω δὲ, ὅτι δυνατόν ἐστιν, ἀγαπᾷν μὲν τὸν Θεὸν ἐν ἄλλῳ πράγματι, μὴ ἀγαπᾷν δὲ τὸν πλησίον ἐν ἄλλῳ. Τοῦτο γὰρ ἀδύνατον. Καὶ ὁ λέγων, ἀγαπῶ τὸν Θεὸν, τὸν δὲ ἀδελφὸν οὐκ ἀγαπῶν ψεύστης ἐστὶν, ὡς φησὶν ὁ Ἀπόστολος. Ἀλλ' ὅτι εὑρίσκεταί τις ἐνέργεια τοῦ ἀνθρώπου, τὴν πρὸς τὸν Θεὸν μόνον ἀγάπην πληροῦσα, καὶ οὐ τὴν πρὸς τὸν πλησίον ἐν τῷ αὐτῆς εἴδει. Ὥσπερ ἡ νηστεία ἡ ἁγνεία ἡ ὑπὲρ ἑαυτοῦ ἑκάστου προσευχὴ, καὶ ὅσαι τοιαῦται· ἐν ταύταις γὰρ ὑπὸ τῆς θείας ἀγάπης μόνης οἱ ἐνεργοῦντες κινοῦνται. Ἡ δὲ ἐλεημοσύνη, καρπὸς οὖσα τῆς πρὸς τὸν πλησίον ἀγάπης ἀμέσως, οὐδὲν ἔλαττον καὶ τὴν πρὸς τὸν Θεὸν ἀγάπην πληροῖ, καθ' ὅσον δηλονότι καὶ τῷ περὶ ἐλεημοσύνης τοῦ Θεοῦ νόμῳ δουλεύει, ὁ τὴν ἀρετὴν ταύτην ποιῶν, καὶ ἄλλοις πλείοσι τρόποις. ἀλλ' ἀρκεῖ τοσοῦτον εἰπεῖν. οὕτω δὲ καὶ ἐπὶ τῶν ἄλλων. Διὸ καὶ μείζων ἐστὶ τῆς νηστείας ἡ ἐλεημοσύνη, ὅτι διπλῆς ἐστὶν ἀγάπης τελείωσις ἡ δὲ νηστεία μιᾶς. Ὅθεν καὶ χρείας παρισταμένης ποτὲ πληροῦν τὴν μείζονα ἀρετὴν, παραιτεῖσθαι συγχωρούμεθα τὴν ἐλάττω, ἐὰν μὴ δυνατὸν ᾖ καὶ ἄμφω τελείως ἅμα πληροῦν,

κἂν μὴ οὕτω ποιῶμεν, οὐ μᾶλλον δικαιούμεθα διὰ τὸ ἐκπληρῶσαι τὴν ἐλάττω, ἢ διὰ τὸ παριδεῖν τὴν μείζω, κατακρινόμεθα. Παραβαίνομεν γὰρ τὴν νηστείαν, καὶ τὴν προσευχήν ποτε καὶ τὰ τοιαῦτα ὑπὲρ τοῦ πληρῶσαι ἐλεημοσύνην, ἢ δικαιοσύνην τότε, ἢ ἄλλην τινὰ ἀρετὴν, ᾗ τινι συνέζευκται ἡ πρὸς τὸν πλησίον ἀγάπη. Ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν ἀντικειμένων ταύταις ταῖς ἀρεταῖς ἁμαρτιῶν. Γαστριμαργία μὲν γὰρ, ἐναντίως ἔχουσα τῇ νηστείᾳ, μιᾶς ἀγάπης ἐστὶ φθορὰ, τῆς πρὸς τὸν Θεόν. ἡ δὲ ἀδικία, ἡ πώρωσις πρὸς οἶκτον, ἐναντίως ἔχουσα τῇ ἐλεημοσύνῃ καὶ τῆς διπλῆς ἀγάπης ἐστὶ φθορά. καὶ θανάσιμοι μὲν εἰσὶ, κατὰ τὸ γένος, ὁμοίως ἑκάτεραι. Οὐχ ὁμοίως δὲ καὶ βαρύνονται τῇ ἐκπτώσει τοῦ καλοῦ τῆς ἀγάπης, ἀλλὰ βαρυτέρα ἐστὶν αὕτη, ἡ διπλῆν ἔχουσα τὴν τῆς ἀγάπης φθοράν. Καὶ καθόλου τὰ εἰς τὸν πλησίον ἁμαρτήματα πάντα βαρύτερα τῶν εἰς Θεὸν ἀμέσως ἁμαρτανομένων, οὐχ ὅτι μόνον, ὡς εἴρηται, ἡ πρὸς τὸν Θεὸν ἀγάπη χωρίζεταί ποτε τὴν πρὸς τὸν πλησίον, εἰκαὶ μὴ ἐν ἑνὶ ἀνθρώπῳ, ἀλλ' ἐν μιᾷ ἐνεργείᾳ, ἡ δὲ πρὸς τὸν πλησίον ἀγάπη, ἀεὶ προϋποτίθησι τὴν πρὸς τὸν Θεόν. Ἀλλὰ καὶ ὅτι μετανοήσαντος τοῦ ἀνθρώπου, καὶ ἐπιστραφέντος ἀπὸ τῆς ἀγάπης τοῦ ἁμαρτάνειν, πρὸς τὴν θείαν ἀγάπην, ἡ μὲν φθορὰ τῆς πρὸς τὸν Θεὸν ἀγάπης ῥᾳδίως θεραπεύεται τῇ ἀγαθότητι τοῦ Θεοῦ, ἐν ὀλίγῳ τε δηλονότι χρόνῳ, καὶ εὐκόλοις ἀντιστηκώσεσιν. ἡ δὲ φθορὰ τῆς πρὸς τὸν πλησίον ἀγάπης οὐκ εὐχερῶς θεραπεύεται. Ἡ μὲν γὰρ θεία ἀγαθότης τὴν ἐπιστροφὴν μόνην τοῦ ἡμαρτηκότος σκοπεῖ, ἐν τῷ μισῆσαι μὲν τὴν ἁμαρτίαν, ἀγαπῆσαι δὲ τὸν Θεὸν, θερμοτέροις

SISMANOGLIO MEGARO



ἔργοις συνισταμένης τῆς ἀγάπης. ἡ δὲ θεία δικαιοσύνη τῶν εἰς τὸν πλησίον ἁμαρτημάτων ἐπίσκοπος οὖσα, οὐ τοῦτο μόνον σκοπεῖ, ἀλλὰ καὶ τὴν ἱκανοποίησιν τοῦ ἀδικηθέντος. Τὸ γὰρ αἷμα τοῦ ἀδελφοῦ σου βοᾷ πρός με φησί. Διὸ καὶ ἀδύνατον τὸν ἀδικήσαντα τὸν πλησίον συγγνώμης τυχεῖν, μετανοήσαντα, ἂν μὴ πρότερον ἱκανοποιήσειε, τῷ ἀδικηθέντι ἐπιστρέψας τὸ ἀφαιρεθὲν σὺν προσθήκῃ, ἢ αὐτῷ διδοὺς ζῶντι, ἢ συγγενεῖ αὐτοῦ ἢ τῇ ψυχῇ αὐτοῦ· Τοῦ καιροῦ δέποτε ταῦτα οὐ συγχωροῦντος, ἢ τῆς τοῦ ἀδικήσαντος δυνάμεως, ἀποθανόντος δηλονότι τοῦ ἠδικημένου, καὶ οἰκείων οὐκ ὄντων, ἢ τοῦ ἠδικηκότος πενίᾳ κατασχεθέντος, ὑπόλοιπον ἐστὶ τότε κρούειν, εἰς μόνην τὴν ἀγαθότητα τοῦ Θεοῦ, καὶ μὴ ἀπογινώσκειν. Ἐλεημοσύνη δὲ τὴν ἐνοχὴν οὐ λύει τῆς τῶν ἀλλοτρίων ἁρπαγῆς, ἐν τῷ δύνασθαι, αὐτὰ ἀντιστρέφεσθαι. Ἀλλ' ἐπειδὰν ἡ τῆς πρὸς τὸν πλησίον ἀγάπης φθορὰ τῇ ἀντιστροφῇ τῶν ἀδικηθέντων ἰατρευθῇ ἔντινι τρόπῳ τῶν εἰρημένων, τότε ἡ συνημμένη τῆς πρὸς τὸν Θεὸν ἀγάπης φθορὰ θεραπεύεται τῇ ἐλεημοσύνῃ. ᾗ καὶ πάντα ἰατρεύεται τὰ εἰς Θεὸν ἀμέσως ἁμαρτανόμενα, διὰ τὸ τὴν ἐλεημοσύνην ἀναπλήρωσιν τῆς θείας ἀγάπης δύνασθαι γίνεσθαι, ἥτινι ἀνθιστάμεθα ἐν τῷ ἁμαρτάνειν. καὶ τοῦτο γίνεται ἐκ πολλῆς αὐτοῦ περὶ τὰ τέκνα φιλανθρωπίας. Ἐφεξῆς θεωρητέον ἂν εἴη ὅτι ἐν ὅσοις τῶν ἁμαρτημάτων ἡ διπλῆ παραβαίνεται ἀγάπη, προϋπόκειται μὲν ἡ τῆς μιᾶς ἀγάπης φθορὰ ὁποτερασοῦν, ἕπεται δὲ ἡ λοιπή. Ὥσπερ ἐν τῇ μοιχείᾳ προϋπόκειται μὲν, ἡ φθορὰ τῆς πρὸς Θεὸν ἀγάπης, ἀκολασία γάρ ἐστι, κατὰ τὸ γένος, ὥσπερ ἡ πορνεία, συνέζευκται δὲ τῇ πρὸς τὸν

πλησίον παρανομίᾳ, ἁρπαζομένου τοῦ τιμιωτάτου τε καὶ οἰκειοτάτου τῶν κτημάτων αὐτοῦ, ἅμα δὲ καὶ ἱερωτάτου. ἐν δὲ τῇ τῶν χρημάτων ἁρπαγῇ τὸ ἀνάπαλιν, προηγεῖται μὲν ἡ φθορὰ τῆς τοῦ πλησίον ἀγάπης, ἕπεται δὲ ἡ τῆς πρὸς Θεὸν ἀγάπης φθορὰ, καὶ ἐν πᾶσιν ὁμοίως τοῖς τῶν πλεονεξιῶν ἁμαρτήμασι καὶ ἀδικιῶν πολλῶν οὐσῶν κατὰ τὸ γένος, καὶ εἶδος. Ἐν τούτοις οὖν ἅπασιν ἡ βαρύτης κρίνεται, οὐ κατὰ τὴν προηγουμένην ἔλλειψιν τῆς ἀγάπης, ἀλλὰ κατα τὸ βάρος τοῦ ἀφαιρεθέντος, ὥστε δηλονότι μεῖζον εἶναι ἁμάρτημα, ἐν ᾧ μείζονος ἀγαθοῦ τὸν πλησίον ἀποστεροῦμεν, εἴτε προηγουμένως, εἴτε ἑπομένως αὐτὸ πράττομεν. Ἔτι δυνατὸν ἐστὶν ἐν δυσὶν ἁμαρτήμασι παραβαλλομένοις τὸ αὐτὸ, τρόπῳ μέντινι εἶναι βαρύτερον τοῦ λοιποῦ, τρόπῳ δὲ ἑτέρῳ κουφότερον. ὥσπερ ἡ τῶν ἀλλοτρίων ἁρπαγὴ βαρυτέρα οὖσα τῆς μέθης, κατὰ τὸ γένος, ὃν εἴρηται τρόπον, ὡς τῆς διπλῆς ἀγάπης φθορὰ, ὅμως τῷ τῆς τάξεως λόγῳ πρὸς τὰ ἄλλα ἁμαρτήματα κουφοτέρα ἐστὶ τῆς μέθης. Ἡ γὰρ τῶν ἀλλοτρίων ἁρπαγὴ αὐτὸ τοῦτό ἐστιν, ἀφαίρεσις τῶν ἀλλοτρίων διὰ τὴν τοῦ πλείονος ἔφεσιν. Ἡ δὲ μέθη, τὸ τῆς ἀρχῆς λόγῳ, πᾶσιν ἁμαρτήμασι κοινωνεῖ· δύναται γὰρ ἐξ αὐτῆς ἅπαν ἁμάρτημα ἀποτίκτεσθαι, καθ᾽ ὅσον ἐστὶν ἔκστασις ἰσχυροτάτη τοῦ λογισμοῦ. Ἔστι μὲν γὰρ καὶ πᾶν ἁμάρτημα δι᾽ ἔκστασιν ὁμολογουμένως τοῦ λογισμοῦ, ὅταν ἐνδῷ τῷ πάθει, καὶ ἡττηθῇ. Ἀλλ᾽ αὕτη ἡ ἔκστασις ὡρισμένη τε πρὸς ἓν ἁμαρτήματος εἶδος, οἰκεῖον τῷ κινηθέντι, καὶ κρατήσαντι πάθει. Ἡ πρὸς πλείω μὲν, ἐκ τῆς αὐτῆς δὲ ῥίζης ἀνίσχουσα, καὶ πῇ μὲν ἑκούσιός ἐστι, πῇ δὲ ἀκούσιος. Ἡ δὲ μέθη ἔκστασις μὲν ἐστὶ τελεία τοῦ λογισμοῦ,

SISMANOGLIO MEGARO



ἐπὶ τῷ θάνατον φέρειν μόνῳ, τῆς χαλεπωτάτης διαφέρουσα παραφροσύνης, καὶ διὰ τοῦτο δυνατὸν ἐστι τὸ ἀπ᾽ αὐτῆς παντὸς γένους ἁμάρτημα ἀποβαίνειν, ἑκουσίως δὲ καθάπαξ ἐστίν. Ἐπιθυμεῖ μὲν γάρ τις καὶ κάλλους σωμάτων, ἢ χρημάτων ἀκουσίως, ὁ μὴ καθάπαξ πεποιηκὼς τὰ πάθη τῷ λογισμῷ ὑπήκοα ταῖς πρὸς αὐτὸν μηχαναῖς, καὶ οἷον νενεκρωμένα. Πίνει δὲ ὥστε μεθυσθῆναι καὶ λίαν ἑκὼν, οὐδὲ μιᾶς φυσικῆς διαθέσεως, ὡς ἐπὶ τῶν παθῶν ἔχει τῶν ἄλλων, βιαζομένης, καὶ ἀνθελκούσης ἐπὶ τὸ πίνειν πέρα τοῦ μέτρου, ἀλόγου δὲ μόνον ἔθους, καὶ φαυλοτάτου. Ὅθεν εἰ καὶ τὰ διὰ τὴν μέθην ἁμαρτανόμενα ἀκούσιά ἐστιν, ὡς ἐν ἐκστάσει τοῦ λογισμοῦ τελείᾳ γεγενημένα, οὐχ ἡττωμένου ἀλλ᾽ ἐφθαρμένου τοῦ λογισμοῦ, τῇ γοῦν ἀρχῇ ἑκούσια ἐστὶν, ἑκουσίου τῆς ἐκστάσεως οὔσης. Πάλιν ἡ καταλαλιὰ μὲν ἐστὶν ἀναίρεσις τῆς τοῦ πλησίον τιμῆς, φόνος δὲ ἀναίρεσις τῆς ἑαυτοῦ ζωῆς, καὶ ἐστὶν ἐν ἑκατέρῳ διπλῆς φθορὰ τῆς ἀγάπης. Ἀλλ᾽ ὁ μὲν φόνος βαρύτερος τῆς καταλαλιᾶς ἁπλῶς, ὅτι τε τοῦ ἔργου ἐστὶν ἁμάρτημα, ἢ τοῦ λόγου, ὥσπερ ἡ καταλαλιά. καὶ τῷ, τὸν μὲν φονέα μὴ δύνασθαι ἔτι τὴν ψυχὴν ἐνθεῖναι τῷ φονευθέντι, τὸν δὲ καταλαλήσαντα, δύνασθαι τὴν τιμὴν ἀποκαταστῆσαι τῷ ἀδελφῷ, ὁμολογήσαντα φανερῶς ἑαυτὸν καταψευσάμενον τῆς ὑπολήψεως τοῦ ἀνεπιλήπτου, καὶ τῇ οἰκείᾳ ἐξουθενήσει καὶ κατακρίσει ἀναπληρώσαντα τὸ ἀδίκημα. Ποῦ δὲ βαρύτερον τοῦ φόνου ἡ καταλαλιά; Οὐκ ἐν πᾶσιν ἀνθρώποις θεωρουμένου τοῦ ἀδικήματος, ἀλλ᾽ ἐν τοῖς σπουδαίοις μόνον, οἳ τῆς ζωῆς ἀλογοῦσιν ὑπὲρ τῆς τιμῆς, περὶ πλείονος τὸ τιμᾶσθαι τοῦ ζῆν ποιούμενοι, καὶ διὰ τοῦτο τοῦ μείζονος ἀποστερούμενοι ἐν αὐτοῖς

ἀγαθοῦ, εἰκότως καὶ βαρύτερον ἀδικοῦνται, καὶ πλέον ἄχθονται. οὐ μόνον δὲ τὰ διαφέροντα γένει, καὶ εἴδει ἁμαρτήματα ὡς εἴρηται, βαρύτερα, ἢ κουφότερα κρίνονται, ἀλλὰ καὶ τὸ αὐτὸ εἶδος τοῦ ἁμαρτήματος ποικίλλεται κατὰ τὰς συνεζευγμένας αὐτῷ περιστάσεις, καὶ ἑαυτοῦ βαρύτερον ἢ κουφότερον, γίνεται, καὶ κρίνεται, ἄλλῃ, καὶ ἄλλῃ περιστάσει παραβαλλόμενον. Οἷον ὁ καταλαλῶν βαρύτερον ἁμαρτάνει, ἂν ἐξ ὑπονοίας τοῦτο ποιῇ, καὶ μὴ ἐξ εἰδήσεως ὁμολογουμένης τῶν τοῦ πλησίον ἐλαττωμάτων. Ἐὰν ἐπὶ πλειόνων, ἢ ἑνὸς καταλαλῇ τοῦ πλησίον. Ἐὰν κατὰ ἄρχοντος, ἢ ἰδιώτου. Ἐὰν περὶ μειζόνων ἢ ἐλαττόνων ἐλαττωμάτων. ἐὰν ὑπὸ βασκανίας, ἢ ἀμύνης. Ἐὰν κατὰ εὐεργέτου, ἢ τοῦ τυχόντος. Καὶ πάλιν, ὁ φονεύων βαρύτερον ἁμαρτάνει, ἑκουσίως τοῦτο ποιῶν, ἢ ἀκουσίως. καὶ δι᾽ αὐτοῦ, ταῖς ἰδίαις χερσὶν, ἢ δι᾽ ἄλλων. Καὶ πρὸς οὐκ ἄρξαντα μάχης, ἢ ἄρξαντα. καὶ ἀντιστάντα, ἢ μὴ ἀντιστάντα. καὶ πλείοσι πληγαῖς, ἢ μιᾷ. καὶ ἄρχοντα, ἢ ἰδιώτην. καὶ ἀγαθὸν, ἢ πονηρόν. εἰδὲ καὶ ἰδιώτην, μονώτην, ἢ οἴκου προστάτην. καὶ νέον, ἢ γέροντα. καὶ ζώντων αὐτῷ τῶν γονέων, ἢ μή. καὶ μόνον ὄντα αὐτοῖς, ἢ μετὰ ἀδελφῶν. κἀκείνων πενήτων ὄντων, ἢ εὐπόρων. καὶ καθοσιωμένων, ἢ λαϊκῶν. καὶ ἐν ὁδῷ, ἢ ἱερῷ. Ὡσαύτως καὶ ὁ ἀκολασταίνων ἧττον μὲν ἁμαρτάνει ἄζυγος, ἀζύγῳ συμμιγνύμενος. ὃ κυρίως πορνεία ἐστί. βαρύτερον δὲ, μετὰ γυναικὸς ἐνζύγου, ἐπέκεινα δὲ, ἔνζυγος ὑπάνδρῳ, ἃ μοιχεῖαι καλοῦνται. Καὶ ἄλλαις πλείσταις ὑποβολαῖς τὸ τῆς ἀκολασίας ἁμάρτημα ποικίλλεται τῇ μᾶλλον βαρύτητι, ἢ κατὰ τὴν φύσιν ἢ κατὰ τὴν σχέσιν τῶν συναπτομένων προσώπων, ἢ κατὰ τὴν τάξιν, ἢ



κατὰ τὴν ἡλικίαν. Καὶ ταῦτα πάντα ὁμοῦ ποικίλλεται αὖθις, ἢ τῇ αἰτίᾳ τοῦ ἁμαρτήματος, ἢ τῷ ἀριθμῷ, ἢ τῷ τρόπῳ, ἢ τῷ καιρῷ. Κοινοτάτη δὲ ποικιλλία, καὶ διατρέχουσα πάντα τὰ ἁμαρτήματα, ἡ κατὰ τὸν ἁμαρτάνοντα ὅ, τι οὖν ἁμάρτημα ποικίλη διαφορά. Ἐν παντὶ γὰρ ἁμαρτήματι ἐλαφρότερον ἁμαρτάνει ὁ νεώτερος, ἢ ὁ τῷ χρόνῳ προβεβηκώς. Ὁ ἀμαθὴς, ἢ ὁ μεμαθηκώς. Ὁ τῇ τάξει ἐλάττων, ἢ ὑπερέχων καθ᾽ ὁποίαν εἴποις τάξιν, ἢ κοσμικὴν, ἢ Ἐκκλησιαστικήν. Περὶ μὲν οὖν τῆς ἐπιθεωρουμένης τοῖς θανασίμοις ἁμαρτήμασι διαφορᾶς, κατὰ τὸ βαρύτερον, ἢ κουφότερον, ἀρκείτω τοσοῦτον, ὡς τύπῳ διαλαβεῖν καὶ ὁδοποιῆσαι τοῖς ἐπεξεργάσασθαι βουλομένοις. ἐντεῦθεν δὲ δῆλον ἐστὶ καὶ τὸ συγγνωστὸν ἁμάρτημα τί ἐστίν. Εἰ γὰρ θανάσιμόν ἐστιν, ἐν ᾧ ἔφθαρται ἡ πρὸς τὸν Θεὸν ἀγάπη, ἢ ἡ πρὸς τὸν πλησίον ἅμα, καὶ τὸν Θεὸν αὐτόν. συγγνωστὸν ἐστὶν, ἐν ᾧ οὐκ ἔφθαρται αὕτη. οἷόν ἐστιν ἡ ἐν τῇ καρδίᾳ μόνῃ μοιχεία, ἐκ τοῦ ἐμβλέψαι γυναικὶ, κατὰ πρόθεσιν, ὥστε ἐπιθυμῆσαι, ἐν τῇ καρδίᾳ συλλαμβανομένη. ἡ γὰρ πρόθεσις τοῦ πρὸς ἐπιθυμίαν ἰδεῖν, σαλεύει μὲν τὴν πρὸς τὸν Θεὸν ἀγάπην, οὐκ ἐμβάλλει δὲ τῆς ψυχῆς, ὡς ἡ ἐν τῷ ἔργῳ μοιχεία. Τοιοῦτον καὶ ὁ ἀργὸς λόγος, τὸ μὲν μὴ καθαιρεῖν, ὡς ἡ καταλαλιὰ οὐκ ἀναιροῦν τὴν ἀγάπην, τὸ δὲ μὴ οἰκοδομεῖν ὑφαιροῦντι τῆς ὀφειλομένης αὐτῇ τελειότητος. Δεῖ γὰρ πάντα λέγειν ἡμᾶς, φησι, πρὸς οἰκοδομὴν τοῦ πλησίον. Τοιοῦτον ὁ φθόνος, ὁ ἐπὶ τοῖς εὐτυχήμασι τοῦ πλησίον, ἄνευ λύπης δριμείας καὶ μίσους ἐνοχλῶν τῇ ψυχῇ κατὰ πάροδον, ὃς καὶ ζῆλος ἰδίως κατονομάζεται. Τοιοῦτον ἡ μετὰ χαριεντισμοῦ κίνησις τῆς ὀργῆς, οὐκ ἐπὶ τὸ βλάψαι ἀλ-

λ᾽ ἐπὶ παιδιᾷ γινομένη· τοιοῦτον τὸ παιγνιῶδες ψεῦδος· τοιαῦται καὶ αἱ ἀρχαὶ τῶν ἐν τῷ ἔργῳ ἁμαρτημάτων, ἂν ἡ τελείωσις αὐτῶν ἑκουσίως ἐπισχεθῇ διὰ τὸ μὴ ἀνασχέσθαι περαιτέρω τὴν ἀγάπην σαλεῦσαι τὸν ἁμαρτάνοντα, καὶ νεκρωθῆναι τῷ τέλει τῆς ἁμαρτίας. Τοιοῦτον καὶ ἡ ἐκ ῥαθυμίας ἔλλειψις τῆς ὀφειλομένης ἐπὶ τοῖς ἁμαρτήμασι ποινῆς, εἴτουν ἀντισηκώσεως χλιαρότης τις τῆς πρὸς τὴν θείαν ἀγάπην ἐπανόδου τυγχάνουσα. Ταῦτα πάντα συγγινώσκονται, καὶ μὴ γινομένης ἐπ᾽ αὐτῆς ἱκανοποιήσεως, ἐκ τῆς ἀγαθότητος τοῦ Θεοῦ. Προνενόηται δὲ καὶ ἡ Ἐκκλησία περὶ αὐτῶν τῇ ἐκ Θεοῦ χορηγίᾳ, ζώντων μὲν ἔτι τῶν ἐνεχομένων αὐτοῖς διὰ τοῦ μυστηρίου τοῦ εὐχελαίου. Φθασάντων δὲ ἀπογενέσθαι τοῦ βίου, διὰ τῶν ἐπὶ τοῖς μετεστηκόσιν ἅπασιν εἰωθότων τελεῖσθαι. Δραστηριώτατον δὲ καὶ κατὰ τῶν θανασίμων ἁμαρτημάτων ἡ μετάνοια φάρμακον. ἂν ἀληθὴς ᾖ, καὶ βεβαία ἐν συντριβῇ καρδίας, καὶ ἐξαγορεύσει, καὶ ἱκανοποιήσει συνισταμένη. Ὅπου δὲ ὁ θάνατον ἐπιὼν ἢ ἄλλη τις ἀνάγκη, τὴν ἐξαγόρευσιν, καὶ τὴν ἱκανοποίησιν εἴργει, ἡ τῆς καρδίας συντριβὴ ἐξαρκεῖ, ἀληθὴς οὖσα. Καθάπερ γὰρ τῷ μυστηρίῳ τοῦ βαπτίσματος ἡ προγονικὴ, καὶ φυσικὴ καθαίρεται ἁμαρτία, οὕτω τῷ μυστηρίῳ τῆς μετανοίας τὰ κατ᾽ ἐνέργειαν ἁμαρτήματα. Τούτων δὲ ἀφιεμένων ἀναλαμβάνονται πάντα τὰ ἀγαθὰ, τὰ διὰ τῆς ἁμαρτίας ἀπολωλότα πρότερον, καὶ ἀναχωρήσαντα, καὶ ἐπειδὴ τῆς ἁμαρτίας ἐνεργουμένης γίνεται μὲν ὁ ἄνθρωπος ἐχθρὸς τοῦ Θεοῦ. Οὐ γὰρ οἷόν τε ὁμοῦ τῆς ἁμαρτίας εἶναι φίλον, καὶ τοῦ Θεοῦ τὸν αὐτόν. ῥύπον δὲ καὶ αἶσχος ἐπισύρεται τῇ ἁμαρτίᾳ ἀνάλογον, ἐπειδὰν παύηται τοῦ ἁμαρ-



τάνειν, ἡ μὲν ἔχθρα διὰ τῆς μετανοίας εὐθὺς λύεται. Καὶ ὥσπερ τῇ πρὸς τὴν ἁμαρτίαν ἀγάπῃ ἐχθρὸς γέγονε τοῦ Θεοῦ, οὕτω τῷ μίσει τῆς ἁμαρτίας πρὸς τὴν φιλίαν ἐπάνεισιν αὐτοῦ τοῦ Θεοῦ, καὶ ἐπιστρέφοντι, εὐθὺς ὁ Κύριος ἐπιστρέφει. Ὁ δὲ ῥύπος μόνων τῆς ἁμαρτίας τῇ ἱκανοποιήσει ἀπαλείφεται. Καὶ οὐδὲν ἐστι πλῆθος ἁμαρτημάτων, ἢ μέγεθος, ὃ μὴ διὰ τῆς ἀληθοῦς ἀφίεται μετανοίας. Τῆς μὲν ἔχθρας τῇ ἀποστροφῇ αὐτῶν εὐθὺς λυομένης, τοῦ δὲ ῥύπου τῇ ἱκανοποιήσει καθαιρουμένου, ἢ ἐν τῇ ζωῇ ταύτῃ ὑπ᾽ αὐτοῦ, ἢ ὕστερον διὰ τῶν τῆς Ἐκκλησίας φαρμάκων. Τὸν δὲ, ἐν τῇ ἐνεργείᾳ τῆς πρὸς θάνατον ἁμαρτίας, ἀποχωροῦντα τοῦ ζῆν, ἀνάγκη πᾶσα μὴ μόνον τὸν ῥύπον τῆς ἁμαρτίας, ἀλλὰ καὶ τὴν ἔχθραν ἐπιφερόμενον ἀπιέναι, καὶ τὴν νέκρωσιν, καὶ διηνεκῶς ἐκπέπτωκε, καὶ ἀπαραιτήτως, διὰ τοῦτο, τῆς αἰωνίου ζωῆς. Ὥστε τοὺς μὲν μηδοτιοῦν ποτὲ πρὸς θάνατον ἁμαρτάνοντας μακαριωτάτους εἶναι, ὡς μηδὲ πειρασθέντας τοῦ θανάτου ποτέ. Τοὺς δὲ ἐκ θανασίμων ἁμαρτιῶν μετανοήσαντας ἐν τῇ ζωῇ ταύτῃ, καὶ αὐτοὺς μακαρίους εἶναι, ὡς ἀναβεβιωκότας σπουδῇ αὐτῶν, καὶ φιλανθρωπίᾳ Θεοῦ. Τοὺς δὲ ἀμετανοήτως ἐν θανασίμοις πταίσμασιν ἀποτεθνηκότας, ἀθλιωτάτους εἶναι, ὡς κἀνταῦθα νεκροὺς, κἀκεῖ δι᾽ ἀφροσύνην οἰκείαν γεγονημένους. Ταῦτα μὲν περὶ τῶν θανασίμων καὶ συγγνωστῶν ἁμαρτημάτων ἀποσεσημείωται καθόλου. Ὅτι δὲ ῥίζαι πάντων τῶν ἁμαρτημάτων ἑπτὰ, ὑπερηφανία, φθόνος, ὀργὴ, ἀκηδία, φιλαργυρία, γαστριμαργία, καὶ ἀκολασία. Καὶ πόσα μὲν εἴδη αὐτῶν ἑκάστης, πόσοι δὲ ἀπ᾽ αὐτῶν ἑκάστης ἀνίσχουσιν ἁμαρτημάτων βλαστοὶ, πάντες νέκρωσιν ἐπιφέροντες

ψυχικὴν τοῖς ὑπ᾽ αὐτῶν ἐξηπατημένοις, ἕως ἂν δι᾽ ἀληθοῦς μετανοίας ἀναβιῶναι σπουδάσωσι, σύντομόν σοι, ϗ περὶ αὐτῶν παρέχομαι εἴδησιν. ϗ διὰ σοῦ τοῖς ἐντευξομένοις.

Πρῶτον τοίνυν ἁμάρτημα γενικὸν ἡ ὑπερηφανία, καὶ ἔστι μὲν αὐτὴ ἀρχὴ παντὸς ἁμαρτήματος, ἰδίως δὲ ἀνίσχουσιν ἀπ᾽ αὐτῆς καρποὶ κακῶν οὗτοι. Ἀνυποταξία, ἀλαζωνεία, ὑπόκρισις, ἀκρασία, πεῖσμα, διχόνοια, ϗ νεωτερισμός. Καὶ ἔστιν ἀνυπότακτος μὲν ὁ μὴ θέλων ὑπακούειν, τῷ προεστάτῃ αὐτοῦ, ἢ τῷ μείζονι ἁπλῶς. ἀλαζὼν ὁ καυχώμενος, ϗ φιλενδήκτης. Ὑποκριτὴς, ὁ πράττων τι ἀγαθὸν διὰ τοὺς ἀνθρώπους. ϗ μὴ διὰ τὸν Θεόν. Ἀκρατὴς ὁ ἄπληστος τῶν ἐπαίνων. Πεισματικὸς, ὁ διεκδικῶν ἑαυτὸν, ἐφ᾽ οἷς εἴπε κακῶς, ἢ ἔπραξε, καὶ μὴ φέρων τὸν ἔλεγχον. Διχόνους ὁ οἰηματίας, ϗ ὁ μὴ συντιθέμενος τοῖς ὑπ᾽ ἄλλων γινομένοις, ἢ λεγομένοις καλῶς. Νεωτεριστὴς, ὁ καταδεχόμενος τὰ μὴ πρὸς αὐτὸν ἀνήκοντα, ὅστις ϗ μεταποιῶν ἄλλων ἔργα ϗ λόγους σοφωτέρων, ὡς ἐπὶ ἰδίοις ἐγκαυχᾶται καλοῖς. Εἴδη δὲ τῆς Ὑπερηφανίας τέσσαρα, α. τὸ μὴ εὐχαριστεῖν τῷ Θεῷ πρεπόντως, ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ, ἀλλὰ νομίζειν ἀφ᾽ ἑαυτοῦ ἔχειν αὐτά. Β΄. τὸ ἀπὸ Θεοῦ μὲν ταῦτα νομίζειν, ἔχειν δὲ μισθὸν τῶν οἰκείων ἔργων. Γ΄. τὸ οἴεσθαι ἔχειν ἅπερ οὐκ ἔχει. Δ΄. τὸ καταφρονεῖν τῶν ἴσων ἢ βελτιόνων δι᾽ αὐτὸν, ϗ μόνος δοκεῖν ἀγαθὸς εἶναι σπουδάζων. ϗ αὐτῶν εἰσὶ πάντα ϗ οἱ καρποὶ ϗ τὰ εἴδη θανάσιμα.

Δεύτερον ἁμάρτημα γενικὸν ὁ Φθόνος Καὶ καρποὶ αὐτοῦ μῖσος τοῦ ἀδελφοῦ, ψιθυρισμὸς, καταλαλιὰ, ἡδονὴ ἐν τοῖς συμβαίνουσι τῷ πλησίον δυσκόλοις, ϗ λύπη ἐπὶ τοῖς καλῶς

SISMANOGLIO MEGARO



αὐτῷ συμβαίνουσι. Καρποὶ πάντες ὁμοίως, οἳ θάνατον ἐπιφέρουσι τῇ ψυχῇ. Ψίθυρος δὲ ἐστι κυρίως, ὁ κοινὸς λεγόμενος συμβαλλόμαχος.

Τρίτον ἁμάρτημα, ἡ ὀργὴ περὶ ἧς εἴρηται, ὀργὴ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐκ ἐργάζεται. Ταύτης καρποὶ, ἔρις, οἴδημα διανοίας, ὅταν δηλονότι φοβούμενος τὸ ἀμύνασθαι, οὐ διὰ τὸν θεῖον φόβον, ἀλλὰ διὰ τὸν τῆς ἀρχῆς, ἀνελίττει μόνον ἐν ἑαυτῷ διαφόρους ὁδοὺς τιμωρίας. ὕβρις, βοὴ, ἀγανάκτησις, ἤγουν δριμύτης τοῦ προσώπου, ϗ βλασφημία, μνησικακία δὲ ἐστὶν ὀργὴ χρονίσασα.

Τέταρτον ἁμάρτημα γενικὸν ἡ ἀκηδία. Καρποὶ δὲ αὐτῆς οὗτοι. Πονηρία, ἥτις ἐστὶν, ὅταν ἀκηδιῶν κατὰ τοῦ ἐνάγοντος αὐτοῦ εἰς τὰ πνευματικὰ ἀγαθὰ, μηχανᾶται κακὰ, ἀμυνόμενος ϗ μισῶν αὐτόν. Ἀψιμαχία, εἴτουν ἀγανάκτησις, ϗ πικρία, μικροψυχία, ϗ ἀπόγνωσις. Νάρκη περὶ τὰς ἐντολὰς, ϗ ῥεμβασμοὶ τῆς διανοίας, περὶ τὰ περιττὰ ϗ ἄθεσμα. Ἐκ δὲ τοῦ ῥεμβασμοῦ πάλιν ἀποτίκτονται ἀκαιρία ϗ σύγχυσις τῆς διανοίας περιεργία. πολυλογία. ταραχὴ τοῦ σώματος, τουτέστιν ἄτακτος κίνησις, ἐν τῷ αὐτῷ τόπῳ ϗ ἀστασία, ἤγουν ἀπὸ τόπου εἰς τόπον ἄτακτος μεταβολή.

Πέμπτον ἡ Φιλαργυρία, εἴτουν πλεονεξία, ἥτις ϗ δευτέρα εἰδωλολατρεία ἐστὶν, ἐφ᾽ ὅσον ὁ φιλάργυρος ἀγαπᾷ ϗ θεραπεύει τὸ ἀργύριον, ὡς οἱ πολλοὶ τὰ εἴδωλα ποτὲ, ἃ ἔλεγον Θεούς. καρποὶ δὲ αὐτῆς προδοσία. ὅταν τὶς ἑαυτῷ περιποιῆται χρήματα διὰ τῆς ἀπάτης, ἢ βλάβης τῶν οἰκείων, ἢ τῶν πλησίων. Δόλος, ὅταν τὶς κρύπτῃ τὴν ἐν τοῖς προκειμένοις

πράγμασιν ἀλήθειαν, συγκαλύπτων τὸ ἐλάττωμα αὐτῶν, τρόποις ϗ μηχαναῖς ἵνα δώξωσιν ὠφελιμώτερα τῆς ἀληθείας τῆς ἐν αὐτοῖς, ἢ ὡραιότερα, ϗ οὕτω τιμηθῶσι πλείονι τοῦ δικαίου τιμήματι. Ἀπάτη, ὅταν οἱ μεσιτεύοντες ἀπατῶσι καὶ ἀμφότερα τὰ μέρη, ἰδίου κέρδους ἕνεκα. Ἐπιορκία, ταραχὴ τῆς διανοίας. Βία, ἤγουν ἁρπαγή, πώρωσις τῆς διανοίας πρὸς οἶκτον, ταύτης ἔκγονα ϗ ἡ τιμιουλκία, ϗ ὁ τόκος, ϗ ἡ δωροδοκία, ϗ ἡ κλοπή, ἢ τῶν ἰδίων, ἢ τῶν δημοσίων, ἢ τῶν ἱερῶν.

Ἕκτον ἡ γαστριμαργία, ἥτις ϗ αὐτὴ εἰδωλολατρεία· λέγεται γὰρ περὶ τῶν γαστριμάργων, ὧν Θεὸς ἡ κοιλία. Καρποὶ δὲ αὐτῆς ἄκαιρος χαρά, ϗ λύπη, παιδιά, ἀκαθαρσία, πολυλογία, ϗ ἀμβλύτης τῆς διανοίας περὶ τὴν νόησιν· Εἴδη δὲ αὐτῆς πέντε, Πρῶτον τὸ προλαμβάνειν τὴν ὥραν τῆς τροφῆς τὴν νενομισμένην, ϗ τὸ συνεχῶς ἐσθίειν, ϗ πίνειν, ἄνευ εὐλόγου αἰτίας, ἢ ἀνάγκης. Δεύτερον, τὸ παρασκευάζειν βρώματα ὑπὲρ τὴν κατάστασιν, ἢ τὴν εὐπορίαν αὐτοῦ. Τρίτον τὸ περιττὸν ἐσθίειν, ϗ ὑπὲρ τὴν χρείαν. Τέταρτον, τὸ μετὰ τύρβης παρασκευάζειν τὰ ὄψα, ϗ μετὰ διαφόρων χυμῶν, ὥστε διὰ τὴν ἐξ αὐτῶν ἡδονὴν ἀδδηφαγεῖν. Πέμπτον, τὸ σφόδρα ἐπιθυμητικῶς ϗ ζεόντως, ὥσπερ οἱ λύκοι ἐπὶ τῶν τροφῶν ἐξαπλοῦσθαι· γαστριμαργία δέ τις ϗ ἡ μέθη ἐστίν.

Ἕβδομον ἡ ἀκολασία. Ταύτης καρποὶ ἡ τοῦ νοῦ τύφλωσις, τὸ ἀπερίσκεπτον, ἡ ἀστασία, ἡ κρήμνισις, ἡ φιλαυτία, τὸ τοῦ Θεοῦ μῖσος, ἡ ἀγάπη τοῦ παρόντος αἰῶνος, ϗ ὁ φόβος, ϗ ἡ ἀπόγνωσις τοῦ μέλλοντος. Εἴδη δὲ αὐτῆς ἕξ, πορνεία, μοιχεία, βία, εἴτουν ἁρπαγὴ παρθένων, ἱεροσυλία, αἱμομιξία, καὶ



τὰ παρὰ φύσιν ἁμαρτήματα. Ὧν ἑκάστου διαφοραὶ πλείους, ϗ εἴδη. Ἰστέον δέ, ὅτι ἔνια ἁμαρτήματα ἐπικοινωνοῦσι πλείοσι γενικοῖς ἁμαρτήμασιν, οἷον ὁ φόνος, ἀδίκημα μὲν ἐστὶ μέγιστον τοῦ πλησίον, ἀφαιρούμενον τὸ μέγιστον, ὧν ἔχει, τὴν ζωήν, ϗ ὅσῳ ἐπὶ τῷ κτείνοντι τὴν θείαν ἀνατρέπων δημιουργίαν, ὥστε ϗ θεομάχον εἶναι τὸ τόλμημα τοῦτο. ἔχει δὲ αἰτίαν προηγουμένως μὲν τὴν ὀργήν, συνήπτεται δὲ αὐτῇ καί τις ἄλλη τῶν γενικῶν κακιῶν, ἢ φθόνος, ἢ πλεονεξία, ἢ γαστριμαργία, ἢ ἀκολασία. ὡσαύτως ἡ ψευδομαρτυρία προηγουμένως μὲν ἐκ τῆς πλεονεξίας ἀνίσχει, ἔχει δέ ποτε συνημμένην ϗ τὴν ὀργήν, ἢ τὸν φθόνον, ἢ τὴν ἀκολασίαν. Καὶ ἡ ἐπιορκία ὁμοίως ϗ ἡ μοιχεία, κατὰ τὸ γένος μὲν ἐστὶν ἀκολασία, ἔχει δὲ συνεζευγμένην τὴν πλεονεξίαν. Ἁρπαγὴ γὰρ ἐστὶν ἡ κλοπή, ὅθεν ϗ κλεψιγάμους τοὺς τοιούτους καλοῦσι. Καὶ ἡ κλοπή, προηγουμένως μὲν ἐκ τῆς πλεονεξίας ἐστί, συνήπτεται δὲ ἢ φθόνος, ἢ γαστριμαργία, ἢ ἀκολασία ϗ ἀφεροπονία, ϗ ἀπραξία, ὑπὸ τὴν ἀκηδίαν ἀναγομένη, ἐφ' ὅσον ἢ πρὸς πλησμονὴν τῆς γαστρός, ἢ πρὸς ἀκολασίαν, ἢ διὰ τὸ μὴ βούλεσθαι πονεῖν, οὐκ ἔχοντες ἀναλίσκειν, ὑφαιροῦνται τὰ τῶν ἄλλων οἱ κλέπται. Ἔτι ἰστέον ὅτι ταῦτα τὰ ἑπτὰ πάθη, ϗ οἱ καρποὶ αὐτῶν ἀναιροῦνται, ἢ ἰατρεύονται διὰ τῶν ἀντικειμένων ἀρετῶν, ϗ τῶν καρπῶν αὐτῶν. Ἀντίκεινται δέ, τῇ μὲν ὑπερηφανίᾳ, μετριοφροσύνη, ϗ ταπείνωσις. Τῷ δὲ φθόνῳ φιλαδελφία ϗ φιλαλήθεια. Τῇ ὀργῇ πρᾳότης ϗ ἀνεξικακία. Τῇ ἀκηδίᾳ φιλοπονία, ϗ καρτερία, ϗ εὐστάθεια. Τῇ πλεονεξίᾳ, ἰσότης ϗ αὐτάρκεια. Τῇ γαστριμαργίᾳ, νῆψις, ϗ ἐγκράτεια. Τῇ ἀκολασίᾳ, δούλωσις

τῶν ἐπιθυμιῶν καὶ καθαρότης. Καθολικαὶ δὲ ἰατρεῖαι τῶν ἐπὶ τοῖς ἁμαρτήμασι περιπτώσεων, αὗται. Συντριβὴ τῆς καρδίας ἐν συναισθήσει τοῦ πτώματος. Ταπείνωσις ἐν τῷ φρονήματι, καὶ τῷ ἔργῳ. Ὑπομονὴ πειρασμῶν ἑκουσίως, καὶ ἀκουσίως, ἀπόβλεψις τῆς θείας ἀγάπης. Οἶκτος τῶν ἀδελφῶν ἐν ψυχῇ, καὶ ἔργῳ τὸ κατὰ δύναμιν. Διὰ τούτων ἐπανέρχεται πρὸς τὴν θείαν ἀγάπην ὁ ἄνθρωπος τελείως, καὶ προσλαμβάνει καὶ χάριν, οὐ μόνον τῆς ἁμαρτίας τὴν ἄφεσιν. Καὶ δόξα τῇ ἀπείρῳ ἀγαθότητι τοῦ Κυρίου ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

# Π Ι Ν Α Ξ

## ΤΩΝ ΤΕΣΣΑΡΑΚΟΝΤΑ ΚΕΦΑΛΑΙΩΝ.

Κεφ. Α΄. Περὶ τοῦ ὅτι δεῖ πιστεύειν πρῶτον ἀναμφιβόλως τε καὶ ὀρθῶς. Τριχῶς διὰ τῆς πίστεως ὠφελεῖται ὁ πιστὸς Α΄. Πιστεύων ἀδιστάκτως εἰς τὸν Θεὸν ὁ πιστὸς ἑνοῦται τῇ ἀληθείᾳ ἥτις ἐστὶν ὁ Θεὸς τὸ πρῶτον ἀμέσως ἐφετόν. Β΄. Πιστεύων εἰς τὴν ἐκκλησίαν, ἤτοι εἰς τὰ διὰ τῆς χάριτος τοῦ Θεοῦ μυστήρια, καὶ τοῖς ἐκκλησιαστικοῖς ἤθεσι κοσμούμενος, ἑνοῦται ὁ νοῦς αὐτοῦ τῷ Θεῷ, ἐσχάτῳ ἀγαθῷ ὄντι, ἐμμέσως. Γ΄. Ἔχων βεβαίαν πίστιν διὰ τὰς ἐπαγγελίας ἀναπαύεται ὁ νοῦς αὐτοῦ καὶ φέρει ῥᾳδίως πάντα πειρασμόν. Φύλ. 8

Κεφ. Β΄. Ὅτι τὸ τέλος τῆς ἀνθρωπίνης γενέσεως, καὶ ζωῆς,



καὶ τὴν εὐδαιμονίαν αὐτοῦ, δεῖ γινώσκειν, ἐν μηδενὶ ἄλλῳ ὑπάρχειν, εἰ μὴ τελειώσει τοῦ νοῦ. Φύλ. 12

Κεφ. Γ΄. Ὅτι ἐφεξῆς δεῖ γινώσκειν, καὶ πιστεύειν ἀναμφιβόλως, ὡς ὁ Θεὸς πανταχοῦ ἐστὶ κατ᾽ οὐσίαν. Φύλ. 13

Κεφ. Δ΄. Ὅτι δεῖ ἀγαπᾷν τὸν Θεὸν ὑπὲρ πάντα τὰ ὄντα, ὅτι αὐτὸς ἐστὶ τὸ ἄκρον ἐφετόν. Φύλ. 16

Κεφ. Ε΄. Ὅτι εἴτις τὸν Θεὸν ἀγαπᾷ, τὰς ἐντολὰς αὐτοῦ τηρεῖν καὶ φυλάττειν ἐπιμελῶς δεῖ. Φύλ. 16

Κεφ. ϛ΄. Ὅτι πένθος διηνεκῶς ἕκαστον δεῖ ἔχειν ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ καὶ τῆς ἀνθρωπίνης φύσεως. Φύλ. 18

Κεφ. Ζ΄. Ὅτι μὴ εἰσέρχεσθαι δεῖ εἰς τὸ ταμεῖον τινὸς τῆς ψυχῆς, θυμόν, καὶ ὀργήν, καὶ ἀψιμαχίαν, καὶ μικροψυχίαν. Φύλ. 19

Κεφ. Η΄. Ὅτι δεῖ τὴν δικαιοσύνην ἀσπάζεσθαι. Φύλ. 20

Κεφ. Θ΄. Ὅτι ἀπὸ τοῦ δικαιοπραγεῖν, ἐπὶ τὸ ἐλεεῖν δεῖ προϊέναι. Φύλ. 24

Κεφ. Ι΄. Ὅτι δεῖ τὸν ἄνθρωπον καθαρεύειν τὴν καρδίαν αὐτοῦ ἀπὸ παντὸς πάθους. Φύλ. 27

Κεφ. ΙΑ΄. Ὅτι δεῖ τὸν ἄνθρωπον ἰδόντα δύω ἀδελφοὺς μαχομένους, ἵνα εἰρηνοποιήσας διαλλάξῃ. Φύλ. 28

Κεφ. ΙΒ΄. Ὅτι εἰ ἕνεκα πίστεως, ἢ δικαιοσύνης διωχθείη τις μὴ λυπηθῆναι δεῖ. Φύλ. 28

Κεφ. ΙΓ΄. Ὅτι ἐάν τις τινὰ ὀνειδίσῃ ἀδίκως, καὶ ἅπαν ῥῆμα πονηρὸν εἴπῃ κατ᾽ αὐτοῦ, καταψευδόμενος αὐτοῦ τῆς πρὸς Θεὸν εὐλαβείας, μὴ ἀγανακτῆσαι δεῖ. Φύλ. 29

Κεφ. ΙΔ΄. Ὅτι δεῖ φυλάττεσθαι, λοίδορον τι ῥῆμα εἰπεῖν

πρὸς τὸν ἀδελφὸν αὐτȣ. Φύλ. 31
Κεφ. ΙΕ΄. Ὅτι μὴ προσφέρειν δεῖ τινα τὸ δῶρον αὐτȣ τῷ Θεῷ, ἐὰν μὴ πρῶτον διαλλαγῇ τῷ ἀδελφῷ. Φύλ. 31
Κεφ. Ις΄. Ὅτι ἐὰν προδήλως ἁμάρτῃ εἰς τινα ὁ ἀδελφὸς αὐτȣ, εἶτα μετανοήσας αἰτήσῃ συγγνώμην, μὴ ἀποστραφῆναι δεῖ αὐτȣ τὴν μετάνοιαν. Φύλ. 33
Κεφ. ΙΖ΄. Ὅτι ἐὰν ὁ ἀδελφός σȣ ἁμάρτῃ εἰς σὲ, ἢ εἰς τὸν Θεῖον νόμον ἐκ πονηρίας, τȣτέστιν ἐκ προθέσεως ἢ ἀνεπιστρόφως, ἐν τῇ ἀδηλίᾳ τȣ πότερον ἐν γνώσει, ἢ ἀγνοίᾳ τὸ τοιȣτον ἁμάρτημα ποιεῖ, πρὸς ὠφέλειαν ἐκείνȣ, ἢ ἐξ ἀγνοίας, ἐστὶ πονηρὸς, ἢ πρὸς σὴν αὖθις ἀσφάλειαν διὰ τὸ μὴ συναναμίγνυσθαί σε τοῖς πονηροῖς, ἢ τῆς αὐτῶν κακίας παραπολαύειν, πῶς δεῖ ποιῆσαι. Φύλ. 33
Κεφ. ΙΗ΄. Ὅτι ἐάν τις ἔν τινος συνοδείᾳ ταράττῃ αὐτȣ τὴν εἰρήνην, ἢ σκάνδαλον αὐτῷ ποιῇ μετὰ Θεȣ, ἢ ἀνθρώπων, ἐκκόψαι δεῖ αὐτὸν, πῶς; Φύλ. 35
Κεφ. ΙΘ΄. Ὅτι ὁμοίως ἢ αὐτὸς ἀεὶ ἐπιτρέπεσθαι δεῖ τὸ σκάνδαλον τȣ πλησίον. Φύλ. 35
Κεφ. Κ΄. Ὅτι ἄν τις ποτὲ ὀμόσῃ ἀνάγκης μεγάλης κατεπειγούσης, εὐορκῆσαι δεῖ. Φύλ. 36
Κεφ. ΚΑ΄. Ὅτι ἐν πᾶσιν ἁπλῶς ὑπερβῆναι δεῖ τὸν παιδαγωγικὸν νόμον, τὸν διὰ τȣ Μωσέως δοθέντα. Φύλ. 37
Κεφ. ΚΒ΄. Ὅτι μὴ ἀποδιδόναι δεῖ τίνι κακὸν ἀντὶ κακȣ, ἀλλ᾽ ἀντιφιλοτιμεῖσθαι τῷ ἀγαθῷ μᾶλλον. Φύλ. 38
Κεφ. ΚΓ΄. Ὅτι παντὶ τῷ αἰτȣντι τινὰ διδόναι δεῖ μὴ διακρινόμενον, κἂν ἑτερόπιστος ᾖ, ἢ ζητεῖ διὰ τὸν Θεὸν, μὴ

SISMANOGLIO



ἐπιστραφῆναι, ἀλλὰ διὰ τὴν φύσιν ἐλεῆσαι, ἢ διὰ τὸν Θεόν. Φύλ. 39
Κεφ. ΚΔ΄. Ὅτι ἀγαπᾷν τȣς ἐχθραίνοντας τινι πάντας δεῖ, ἢ εὐλογεῖν τȣς καταρωμένȣς αὐτȣ. Φύλ. 40
Κεφ. ΚΕ΄. Ὅτι ὅταν νηστεύῃ τις, ἢ τι τῶν ἀγαθῶν ὅλως ποιῇ, ἐν κρυπτῷ δεῖ ταῦτα ἐργάζεσθαι. Φύλ. 41
Κεφ. Κς΄. Ὅτι ἐπιμελεῖσθαι δεῖ τῶν πρὸς τὸ ζῆν χρησίμων, αὐτῷ τε ἢ τοῖς συνȣσιν. Φύλ. 42
Κεφ. ΚΖ΄. Ὅτι ἀπροσπαθῆ εἶναι δεῖ τινα εἰς πάντα τὰ τοῦ παρόντος κόσμȣ, προσπαθῆ δὲ πρὸς τὰ τȣ μέλλοντος. Φύλ. 45
Κεφ. ΚΗ΄. Ὅτι ἐάν τίς τινι εἴπῃ, ὅτι ὁ δεῖνα διδάσκαλος ἐστὶν, ἢ ἅγιος, ἢ δύναται ὠφελῆσαι αὐτὸν, μὴ πιστεύειν ἁπλῶς δεῖ, μηδὲ προσέρχεσθαι ἀβασανίστως. Φύλ. 47
Κεφ. ΚΘ΄. Ὅτι μηδέποτε τινα καταλαλῆσαι δεῖ τȣ ἀδελφȣ αὐτȣ, τȣτο ἢ πολὺ χεῖρον τȣ κρίνειν ἐστίν. Φύλ. 49
Κεφ. Λ΄. Ὅτι ἁπλῶς ὅσα τίς θέλῃ ἵνα ποιῶσιν αὐτῷ οἱ ἄνθρωποι, ἢ τȣτον δεῖ ποιεῖν ὁμοίως εἰς ὅλȣς. Φύλ. 49
Κεφ. ΛΑ΄. Ὅτι δοξολογίας Θεȣ, ἢ εὐχαριστίας, ἢ ἐξομολογήσεως ἐν ταῖς προσευχαῖς τινος, μηδένα δεῖ εἶναι αὐτῷ κόρον, εἰ οἷόν τε, μηδὲ μέτρον. Φύλ. 50
Κεφ. ΛΒ΄. Ὅτι ὅταν τίς πνευματικόν τι ἀγαθὸν ὡρισμένως ζητῇ ἐκ τȣ Θεȣ, ἢ σωματικὸν μὲν, ἑπόμενον δὲ τοῖς πνευματικοῖς ἢ ȣκ ἐναντιȣμενον, ζητεῖν δεῖ θερμῶς, μηδὲ ἅπαξ κρȣσαντα ἀφίστασθαι, ἀλλὰ συνεχῶς κρȣειν, ἵνα αὐτῷ ἀνοιγῇ. Φύλ. 51

Κεφ. ΛΓ΄. Ὅτι ἐν ταῖς θλίψεσι καὶ στενοχωρίαις, μὴ ἀθυμεῖν δεῖ. Φύλ. 52
Κεφ. ΛΔ΄. Ὅτι διηνεκῶς μέμνησθαι τοῦ θανάτου καὶ τῆς κρίσεως, καὶ ἑτοιμάζεσθαι πρὸς τὴν ἔξοδον δεῖ. Φύλ. 54
Κεφ. ΛΕ΄. Ὅτι ἅπαν τὸ ἐμπιστευθέν τινι παρὰ Θεοῦ χάρισμα, εἰ τὸν κοινωνικὸν προῄρηται βίον, μὴ κατέχειν δεῖ κρύπτων, ἀλλὰ μεταδίδοσθαι τοῖς χρήζουσιν, καὶ ὡς τοῦτο δωρεὰν ἔλαβε, οὕτω καὶ διανέμειν. Φύλ. 55
Κεφ. Λϛ΄. Ὅτι τὴν νηπιώδη ἀκακίαν καὶ ἁπλότητα σπουδάζειν δεῖ. Φύλ. 55
Κεφ. ΛΖ΄. Ὅτι σπουδάζειν δεῖ πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ πληροῦν, καὶ μάλιστα ὧν ἡ παράβασις θανάσιμός ἐστιν ἁμαρτία. Φύλ. 56
Κεφ. ΛΗ΄. Ὅτι ἐάν τις πάντα τὰ ἐπιτεταγμένα ποιήσῃ, λέγειν δεῖ, ἀχρεῖον εἶναι δοῦλον, καὶ μὴ μόνον λέγειν, ἀλλὰ καὶ οὕτω φρονεῖν. Φύλ. 56
Κεφ. ΛΘ΄. Ὅτι ἂν ὁτιοῦν τις ἁμάρτῃ, εἰ καὶ πλείω πρὸς θάνατον, μετανοῆσαι δεῖ, καὶ ὁ Θεὸς αὐτίκα συγγνώσεται. Φύλ. 57
Κεφ. Μ΄. Ὅτι εὐχαριστεῖν δεῖ τῷ Θεῷ, καὶ διανοίᾳ καὶ γλώττῃ διηνεκῶς, ὑπὲρ τῶν εἰς αὐτὸν τὸν ἄνθρωπον δωρεῶν. Φύλ. 59
Διδασκαλία περὶ τῶν θανασίμων καὶ συγγνωστῶν ἁμαρτημάτων. Φύλ. 65

ΤΕΛΟΣ